(1) Ἢ κατ᾽ ἄλλον ἑρμηνευτὴν, (τὸν θεῖον Μάξιμον ἴσως.) τὸ ἐν τῷ ἁγίῳ ἀντὶ τοῦ, ἐν τῷ Υἱῷ νοεῖται, κατὰ τό „ Ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ· λαλεῖ δὲ ἐν τῷ σαρκωθέντι λόγῳ ὁ Πατὴρ τὸν θεῖον αὐτοῦ σκοπὸν, τὸν ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν· ὁ δὲ Θεοδώριτος λέγει „ Οὕτω προσενεγκὼν τὴν δέησιν ὁ προφητικὸς νοῦς, δέχεται τὴν ἀπόκρισιν, καὶ ταύτην οὐκ ἀνέχεται κρύψαι, ἀλλὰ πάντας διδάσκει· ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· τουτέςι διὰ τῆς τοῦ παναγίου Πνεύματος χάριτος ὀργάνῳ τῇ τοῦ Προφήτου χρησαμένης γλώττῃ.

(2) Ὁ δὲ Θεοδώριτος λέγει „ Σίκιμα ἡ τῷ Ἰωσὴφ ὑπὸ τοῦ Ἰακὼβ καταλειφθεῖσα πόλις· ἐν ταύτῃ δὲ ὁ Ἐφραὶμ μετὰ τὴν διαίρεσιν τῶν δέκα φυλῶν ἐπήξατο βασιλείαν· κοιλάδα δὲ τῶν σκηνῶν τὴν τῶν Ἰσραηλιτῶν λέγει χώραν, ὡς ἔρημον γεγενημένην καὶ ποιμενικὰς τηνικαῦτα σκηνὰς δεξαμένην· ἔφη δὲ καὶ ὁ Ἀθανάσιος „ Ὅμοιον τοῦτο τῷ „ Ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ· αὐτὸς γάρ ἐςιν ὁ ἅγιος τοῦ Θεοῦ καὶ Πατρός· τί δὲ ἐλάλησεν; ὡς τὰ Σίκιμα μὲν διαμεριοῖ· τουτέςι τὸ βασίλειον τοῦ Ἰσραήλ· ἐν Σικίμοις γὰρ ἦν· δέδωκε γὰρ τοῖς ἀλλοφύλοις Ἔθνεσι τοῖς πιςεύσασιν εἰς αὐτόν.

τῶν δύω τούτων τόπων, ἐφανέρωσεν ὅλην τὴν Ἰουδαίαν, ὡς ἀπὸ μέρους τὸ ὅλον. (1)

7: „ Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι „ Μανασσῆς.

Ἀπὸ τοῦ ἀπογόνου Γαλαὰδ ἀνέβη ὁ Δαβὶδ εἰς τὸν τούτου πρόγονον Μανασσῆν · πρόγονος γὰρ ἦτον ὁ Μανασσῆς τοῦ Γαλαάδ · μὲ τὸ ὄνομα δὲ τοῦ Μανασσῆ, ἐφανέρωσεν ὁ Δαβὶδ ὅλην τὴν φυλὴν τοῦ Μανασσῆ · ὁμοίως καὶ μὲ τὰ ἄλλα κατωτέρω ὀνόματα τοῦ Ἐφραὶμ καὶ Ἰούδα, ἐφανέρωσε τὰς ἄλλας φυλὰς τὰς πλέον ὀνομαστοτέρας · μαζὶ μὲ τὰς ὁποίας καὶ αἱ ἄλλαι φυλαὶ τοῦ Ἰσραὴλ συμπεριλαμβάνονται · λέγει δὲ, ὅτι εἶναι ἐδικός μου τώρα ὁ Μανασσῆς καὶ ὁ Γαλαὰδ, ἀγκαλὰ καὶ πρότερον ἀπέβαλα αὐτοὺς, διὰ τί με ἐπαρώργισαν μὲ τὰς ἁμαρτίας των. (2)

„ Καὶ Ἐφραὶμ κραταίωσις τῆς κεφα- „ λῆς μου.

Κεφαλὴν ἐδῶ ὀνομάζει ὁ Δαβὶδ τὴν ἀρχήν · ἔτζι γὰρ ὁ Σύμμαχος ἐξέδωκε · λέγει λοιπὸν, ὅτι τὸ κραταιὸν μέρος τῆς ἀρχῆς καὶ βασιλείας τῶν Ἑβραίων, ἔχει νὰ κατασαθῇ ἡ φυλὴ τοῦ Ἐφραίμ: ἤτοι οἱ ἐκ τῆς φυλῆς ταύτης καταγόμενοι · μὲ τὴν ἀντωνυμίαν δὲ τῆς μου: ἤγουν τῆς κεφαλῆς μου, οἰκειοποιεῖται ὁ Θεὸς τὴν βασιλείαν τῶν Ἑβραίων · παραθαῤῥύνων αὐτοὺς ὡς ἐδικόν του λαόν. (3)

„ Ἰ-

---

(1) Ὁ δὲ μέγας Βασίλειος λέγει „ Σίκιμα τὸ ἐξαίρετον χωρίον τῷ Ἰωσὴφ παρὰ τοῦ Ἰακὼβ δεδομένον, τύπος ἦν τῆς διαθήκης τῆς μόνῳ δοκούσης τῷ Ἰσραὴλ δεδωρῆσθαι · τὴν τοίνυν ἐξαίρετον κληρονομίαν τοῦ λαοῦ ταύτην εἰς μερισμὸν ἄξω, ϗ κοινὴν ποιήσω πρὸς τοὺς λοιπούς · διαμερισθείσης οὖν τῆς διαθήκης εἰς πάντας . . . τότε ϗ ἡ κοιλὰς τῶν σκηνῶν διαμετρηθήσεται · τουτέστιν ἡ οἰκουμένη πᾶσα, οἱονεὶ κλήροις τισὶ, ταῖς καθ' ἕκαστον τόπον παροικίαις διαιρεθήσεται · τότε ϗ τὰ διεστῶτα συνάψει ὁ εἰρηνοποιῶν, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς · ἢ κοιλάδα ὀνομάζει τὸ τῶν ἀνθρώπων οἰκητήριον κατὰ τὸν Ἀθανάσιον, ὅπερ εἰς σκηνὰς διαμετρήσω: τουτέστιν ἐκκλησιῶν πληρεστάτας ἀποτελέσω · ἢ Σίκιμα ἑρμηνεύεται ὠμίασις, ἥτις (κατὰ τὸν Δίδυμον ϗ ἅγιον Μάξιμον) πασῶν ἐστι τῶν ἀρετῶν ἐνεργητικὴ ἕξις · πράξεως δὲ σύμβολον τὸν ὦμον εἶναί φασι · κοιλὰς δὲ τῶν σκηνῶν, ὁ παρὼν Κόσμος ἐστίν · ὥστε διὰ τῶν λόγων τούτων νοεῖται, ὅτι ὁ δίκαιος ἄνθρωπος ἀγαλλιᾶται τελειωθεὶς ἐν τῇ χάριτι τοῦ μονογενοῦς Υἱοῦ · ϗ γίνεται ἱκανὸς νὰ διαμετρήσῃ τὰ Σίκιμα: ἤγουν νὰ κατορθώσῃ τὴν πρακτικὴν ἀρετὴν, νὰ μετρήσῃ δὲ ϗ τὴν κοιλάδα τῶν Σκηνῶν: ἤγουν νὰ κατορθώσῃ τὴν φυσικὴν θεωρίαν, λόγον ἀπονέμων πρόσφορον ἑκάστῳ τῶν ἐν τῷ Κόσμῳ ὄντων.

(2) Ἄλλος δὲ λέγει (ἴσως ὁ θεῖος Μάξιμος ·) „ Πνευματικῶς δὲ διὰ τοῦ Γαλαὰδ ϗ Μανασσῆ σημαίνει ὁ Χριστὸς, ὡς ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ πρώτοις Ἰουδαίοις κηρύξει τὴν χάριν · ἐπειδὴ δὲ Γαλαὰδ ἑρμηνεύεται ἀποκάλυψις, Μανασσῆς δὲ ἑρμηνεύεται λήθη, διὰ τοῦτο ἀποκάλυψις ϗ λήθη δίδονται εἰς τὸν Δίκαιον · ἐπειδὴ αὐτὸς λαμβάνει μὲν διὰ θεωρίας τὴν ἀποκάλυψιν τῶν ἀποῤῥήτων · λαμβάνει δὲ ϗ λήθην τῶν πόνων τῆς ἀρετῆς, διὰ τὴν εὐφροσύνην τῆς πνευματικῆς θεωρίας, ἥτις διαδέχεται τοὺς πόνους τῆς ἀρετῆς · ὁ δὲ Δίδυμος λέγει „ Γαλαὰδ μετοικισμὸς ἑρμηνεύεται, Μανασσῆς δὲ, ἀπὸ λήθης · ἐρεῖ οὖν ὁ Σωτήρ · ἐμός ἐστι Γαλαὰδ, ὁ ἀπὸ πλάνης εἰς ἀλήθειαν, ϗ ἀπὸ κακίας εἰς ἀρετὴν, ϗ ἀπὸ τῆς γῆς εἰς οὐρανὸν μετοικιζόμενος · ἐμός ἐστι ϗ ὁ Μανασσῆς, ὁ ἀπὸ λήθης: ἤτοι ὁ πόῤῥω λήθης γενόμενος καθ' ἣν ἐπιλέλησο τῶν τοῦ Θεοῦ ἀγαθῶν, ϗ εἰς μνήμην τούτων ἐρχόμενος (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(3) Ἄλλος δὲ λέγει „ Δύω παίδων γεννωμένων τῷ Ἰωσὴφ, τοῦ Ἐφραὶμ λέγω ϗ τοῦ Μανασσῆ, οἱ μὲν ἐκ φυλῆς Ἐφραὶμ, ἀποσχίσαντες τὸν Ἰσραὴλ ἐπὶ Ῥοβοὰμ, ἦρξαν ἐν Σαμαρείᾳ ϗ Σικίμοις τῶν ἐννέα ϗ ἥμισυ φυλῶν τοῦ Ἰσραήλ · διὰ τοῦτο λέγεται ἐδῶ · „ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου: ἤτοι ἰσχὺς τῆς ἀρχῆς μου · οἱ δὲ ἐκ τοῦ Μανασσῆ, ἐκατοίκησαν τὴν Γαλαάδ · ὁ μὲν οὖν τόπος ἐκ τοῦ Γαλαὰδ ἐσημαίνετο, οἱ δὲ οἰκήτορες, ἐκ τοῦ Μανασσῆ · ἐπειδὴ δὲ μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον ἀδιαίρετοι ἔμειναν αἱ φυλαὶ, μόνον δὲ τὸν ἐξ Ἰούδα Ζοροβάβελ εἶχον ἡγεμόνα ϗ βασιλέα · διὰ τοῦτο πρεπόντως τὸν Ἐφραὶμ ἰσχὺν ϗ κραταίωσιν τῆς ἀρχῆς προσηγόρευσεν · ἐξ αὐτοῦ γὰρ ἦν ἡ βασιλεία τοῦ Ἰσραὴλ, ὑπισχνούμενος αὐτῷ τὴν προτέραν ἀποδώσειν ἰσχὺν, ϗ πρόμαχον ὡς πάλαι καταστῆσαι.

„ Ἰούδας βασιλεύς μου. (1)

Ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα, λέγει, θέλει γένη ὁ βασιλεὺς τῶν Ἰουδαίων· διὰ τί ὁ Ζοροβάβελ μετὰ τὴν ἀπὸ τῆς Βαβυλῶνος ἐλευθερίαν, ἐβασίλευσεν εἰς τοὺς Ἰουδαίους, ὅς τις ἐκατάγετο ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα· καὶ ἐδῶ δὲ τὸ μου: ἤγουν τὸ, βασιλεύς μου, τὴν πρὸς Θεὸν οἰκειότητα φανερόνει τῆς βασιλείας τοῦ Ἰούδα. (2)

8: „ Μωὰβ λέβης τῆς ἐλπίδος μου.

Ὁ λέβης: ἤγουν τὸ μεγάλον καζάνι, εἶναι σκεῦος, ὁποῦ ὑπηρετεῖ εἰς τὰς χρείας τῶν ἀνθρώπων· μὲ τὸ σκεῦος λοιπὸν φανερόνει αἰνιγματωδῶς ὁ Δαβὶδ, ὅτι τὸ Ἔθνος τῶν Μωαβιτῶν θέλει ὑποταχθῇ εἰς τοὺς Ἰουδαίους, καὶ θέλει ὑπηρετῇ εἰς αὐτούς· τῆς ἐλπίδος μου δὲ εἶπεν, ἀντὶ τοῦ, τῶν ἐλπιζόντων εἰς ἐμέ: ἤτοι τῶν Ἰουδαίων· ἢ ἐν οἷς ἐλπίζω, ὅτι θέλουν γένουν ἐδικοί μου. (3)

„ Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπό-
„ δημά μου.

Ὑπόδημα ὀνομάζει ὁ Δαβὶδ τὸ περιπάτημα· λέγει λοιπὸν, ὅτι καὶ τὴν Ἰδουμαίαν θέλω περιπατήσω: ἤτοι θέλω ὑποτάξω εἰς τὸν λαόν μου Ἰσραὴλ, συμβοηθήσας αὐτὸν εἰς τὸν πόλεμον. (4)

„ Ἐ-

(1) Ὁ δὲ Θεοδώριτος λέγει „ Τὸ Βασιλεύς μου, ἀντὶ τοῦ ὑπ' ἐμοῦ χειροτονούμενος βασιλεὺς, ϗ τοῦ ἐμοῦ βασιλεύων λαοῦ· οὕτω ϗ παρὰ τῷ Ἡσαΐα „ Τάδε λέγει Κύριος τῷ χριςῷ μου Κύρῳ (Ἡσ. με΄. 1.) τουτέςι τῷ ὑπ' ἐμοῦ κεχρισμένῳ ϗ κεχειροτονημένῳ.

(2) Ἄλλος δὲ λέγει (ἴσως ὁ θεῖος Μάξιμος) „ Τὸν δὲ Ἰούδαν: ἤγουν τὸν ἐκ φυλῆς Ἰούδα Ζοροβάβελ, βασιλέα ἑαυτοῦ ὠνόμασεν ὁ Θεὸς, ὡς ὑπ' αὐτοῦ χειροτονούμενον· κατὰ ὑψηλότερον δὲ λόγον, Ἐφραῒμ πλατυσμὸς ὀνομάζεται· ὅπερ ἐςὶ κατὰ πίςιν ἐπὶ τοῖς μέλλουσιν ἀγαθοῖς ἄπτωτος ἐλπὶς, ἥτις ἐςὶν ἀντίληψις τῆς κεφαλῆς τοῦ δικαίου: τουτέςι τῆς πίςεως· παντὸς γὰρ δικαίου κεφαλὴ, ἡ πίςις ἐςὶ, ϗ παντὸς ἔργου ἀγαθοῦ· κραταίωσις δὲ ταύτης καθέςηκεν ἀσφαλὴς, ἡ τῶν μελλόντων ἀγαθῶν ἀδιάπτωτος ἐλπὶς, καθ' ἣν ὡς παρόντα τὰ μέλλοντα θεωροῦντες, ἐμπλατυνόμεθα ταῖς θλίψεσιν, ἀκατάπτωτοι ἐν τοῖς πειρασμοῖς διαμένοντες· Ἰούδας δὲ ἐξομολόγησις ἑρμηνεύεται· ἄρχει γὰρ ἡ δι' εὐχῶν ἐξομολόγησις ἐν τοῖς ἁγίοις παντὸς ἀγαθοῦ· κλῆρος δὲ ϗ τοῦ Κυρίου ὁ Ἰούδας: τουτέςι πᾶς ἐξομολογούμενός τε ϗ δοξολογῶν αὐτόν.

(3) Κατὰ δὲ τὸν Ἀκύλαν „ Λέβης τοῦ λουτροῦ μου· ἢ κατὰ τὸν Σύρον „ Κάδος τῆς πλύσεώς μου· ἢ λεκάνη καταπατήσεώς μου· ἢ λέβης ἀμεριμνίας· λέγει τοίνυν, ὅτι οἱ Μωαβῖται ὑποταγήσονται τοῖς Ἰουδαίοις· ϗ ὥσπερ ἐν λεκάνῃ ϗ λέβητι τὰ ἱμάτια βαλλόμενα, ὑπὸ τῶν πλυνόντων πατεῖται· οὕτω καὶ οἱ Μωαβῖται καταπατηθήσονται· κατὰ δὲ ὑψηλότερον νόημα, οὕτως ἑρμηνεύεται τὸ ῥητὸν ὑπὸ τοῦ μεγάλου Βασιλείου „ Ὁ Μωὰβ ἀπόβλητος ἦν, ἀπειλὴν ἔχων μὴ εἰσελεύσεσθαι εἰς Ἐκκλησίαν Κυρίου „ Οὐκ εἰσελεύσεται γάρ φησι Μωαβίτης καὶ Ἀμμανίτης ἕως τρίτης ϗ ἕως δεκάτης γενεᾶς εἰς τὸν αἰῶνα χρόνον (Δευτ. κγ΄. 3.) ὅμως ἐπειδὴ τὸ βάπτισμα ἄφεσιν ἔχει ἁμαρτημάτων, ϗ ἀμεριμνίας πρόξενον γίνεται τοῖς καταχρέοις, τὴν διὰ τοῦ βαπτίσματος ἀπολύτρωσιν, ϗ πρὸς Θεὸν οἰκείωσιν ἐνδεικνύμενός φησι, Μωὰβ λέβης ἐςὶ λουτροῦ, ἢ λέβης ἀμεριμνίας· ὁ δὲ Μωὰβ ϗ ὁ Ἀμμὰν υἱοὶ Λὼτ γεγόνασιν ἐκ παρανόμου μίξεως τῶν αὐτοῦ θυγατέρων· λέγει τοίνυν, ὅτι ϗ οἱ Μωαβῖται: ἤτοι τὸ πρῴην ἄθεον ἔθνος ὑποδέξονται τὴν εἰς ἐμὲ ἐλπίδα· ὁ δὲ θεῖος Μάξιμος λέγει, ὅτι Μωὰβ ἑρμηνεύεται ἔντερον πατρός· νοεῖται δὲ τὸ ἡμέτερον σῶμα, δι' οὗ κατὰ τὴν πρακτικὴν φιλοσοφίαν λουτροῦ εἰκὼν· ὅπερ δηλοῖ ὁ λέβης· ἡ κάθαρσις γίνεσθαι πέφυκε τῶν ἁμαρτημάτων· κάθαρσις γάρ ἐςιν ὁ λέβης τῆς ἐλπίδος: τουτέςιν ἡ διὰ βίου κατὰ τὴν κάθαρσιν πρὸς κληρονομίαν τῶν κατ' ἐλπίδα ἀποκειμένων ἀγαθῶν ἑτοιμότης· λέγει δὲ ϗ ὁ Θεοδώριτος, ὅτι ὁ λέβης ἐπὶ τιμωρίᾳ κεῖται παρὰ τῇ θείᾳ Γραφῇ, οὕτω ϗ ὁ μακάριος Ἰεζεκιὴλ διδάσκει, λέβητα προςαχθεὶς καλέσαι τὴν Ἱερουσαλὴμ, κρέας δὲ, τοὺς ἐνοικοῦντας, πῦρ δὲ τὸν Βαβυλώνιον, ζωμὸν δὲ τὴν ἀναγκαίαν τροφὴν· οὗ ἐπιλελοιπότος κατεκαίετο τὰ κρέα· (Ἰεζ. ια΄. 3.) οὕτω ϗ ὁ Μακάριος Ἱερεμίας λέβητα ὑποκαιόμενον εἶδε, ϗ τὸ πρόσωπον αὐτοῦ ἀπὸ προσώπου βοῤῥᾶ (Ἱερ. α΄. 13.) οὐκ ἂν δὲ διαμάρτοι τις θεωρήσας, λέβητα τὴν θείαν κολυμβήθραν τιμωροῦσαν μὲν ϗ καταφλέγουσαν τὴν ἁμαρτίαν, ἀποτρίβουσαν δὲ τὸν ῥύπον τῶν δι' αὐτῆς ἀνακαινιζομένων.

(4) Ὁ δὲ μέγας Βασίλειος λέγει „ Πάντες οὖν ἀλλόφυλοι ὑπετάγησαν, τῷ ζυγῷ τοῦ Χριςοῦ ὑποκύψαντες·

διὰ

„ Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

Οἱ ἀνωτέρω, λέγει, ἀλλόφυλοι, οἱ Μωαβῖται καὶ Ἰδουμαῖοι, καὶ τὰ πέριξ αὐτῶν Ἔθνη, θέλουν ὑποταγοῦν εἰς ἐμένα· ἀντὶ δὲ τοῦ ὑποταγήσονται χρόνου μέλλοντος, ἐγράφη ὑπετάγησαν εἰς χρόνον περασμένον, κατὰ τὸ ἰδίωμα ὁποῦ ἔχουν οἱ Προφῆται: τὸ νὰ λέγουν δηλαδὴ τὰ μέλλοντα ὡς περασμένα.

9: Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;

Ἐκ προσώπου τῶν σκλαβωμένων Ἰουδαίων λέγεται ὁ λόγος οὗτος· Πόλις δὲ περιοχῆς ἡ Ἱερουσαλὴμ ὠνομάζετο, διὰ τὶ ἦτον περιτριγυρισμένη καὶ ὠχυρωμένη ἀπὸ τείχη ὑψηλὰ καὶ δυνατὰ· ἀπὸ τὴν πολλὴν δὲ χαρὰν τους λέγουσιν οἱ Ἰουδαῖοι τὸν λόγον τοῦτον· τίς νὰ με ὑπάγῃ εἰς τὴν ποθεινὴν πόλιν Ἱερουσαλὴμ; διὰ τὶ εἰς τὴν σκλαβίαν εὑρισκόμενοι, ἐκατοίκουν εἰς τόπον συγκλεισμένον καὶ ἀνελευθέρωτον. (1)

„ Ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδου-
„ μαίας;

Ποῖος, λέγει, νὰ ὁδηγήσῃ ἐμένα τὸν σκλαβωθέντα λαὸν τοῦ Ἰσραὴλ διὰ νὰ ὑπάγω νὰ θεωρήσω, ὄχι μόνον τὴν πόλιν Ἱερουσαλὴμ τὴν γλυκυτάτην μου πατρίδα· ἀλλὰ καὶ τὴν Ἰδουμαίαν καὶ τοὺς πέριξ τόπους τῆς Ἱερουσαλὴμ, ὑποτεταγμένους εἰς τὴν βασιλείαν μας; καὶ νὰ ἰδῶ τοὺς πρώην ἐχθρούς μας, φίλους καὶ οἰκείους μας; (2)

10: „ Οὐ-

διὰ τοῦτο ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλεῖ τὸ ἑαυτοῦ ὑπόδημα· ὑπόδημα δὲ τῆς Θεότητος ἡ θεοφόρος (ἤτοι ἡ θεοϋπόϛατος) σὰρξ, δι' ἧς ἐπέβη τοῖς ἀνθρώποις· Ἰδουμαία δὲ ἀπὸ τοῦ Ἐδὼμ ἐκλήθη, κατὰ ἄλλον ἑρμηνευτήν· οὗτος δὲ ἦν ὁ Ἠσαῦ· ἢ ϗ οἱ διακονούμενοι τῷ κηρύγματι εἶεν ἂν ὑπόδημα· Ἰδουμαία δὲ, αἱματώδης πηλὸς ὀνομάζεται, ἥτις γηΐνη μεθερμηνεύεται κατὰ τὸν Δίδυμον· δύναται δὲ κατὰ τὸν ἅγιον Μάξιμον νοηθῆναι ἡ Ἰδουμαία εἰς τὴν ἑκάϛου ἡμῶν σάρκα, ἐφ' ἧς ἐκτείνομεν τὸ ὑπόδημα: τουτέϛι τὴν φρουροῦσαν τὴν ψυχὴν ἀπὸ τῶν πονηρῶν τοῦ Διαβόλου τριβόλων καὶ ἀκανθῶν. ἄσκησίν τε ϗ ἐγκράτειαν· ἄνευ γὰρ ἀσκήσεως ϗ ἀκριβοῦς ἐγκρατείας, τὰ τῆς σαρκὸς πάθη καταπαλαῖσαι ἀμήχανον· ἢ κατὰ τὸν αὐτὸν πάλιν Μάξιμον „ Ὑπόδημα ψυχῆς νοεῖται, ἡ διὰ λόγου ϗ θεωρίας νεκρωθεῖσα αἴσθησις, δι' ἧς ἐπιβαίνουσα ἡ ψυχὴ τοῖς αἰσθητοῖς, τὸν αἰῶνα τοῦτον ἀβλαβῶς διαπορεύεται, τοὺς αὐτῶν λόγους διὰ μέσης τῆς αἰσθήσεως ὡς ὑποδήματα φαντασιουμένη, ϗ τὰς τῶν ἀρετῶν κατ' εἶδος ϗ σχῆμα διαφορὰς ἀναλεγομένη, πρὸς τὴν τοῦ ἑνὸς μόνου τε ϗ ἀρχικοῦ λόγου σύνεσιν ϗ ἐπίγνωσιν· λέγει δὲ ϗ ὁ Ἡσύχιος „ Δείκνυσιν ὁ Χριϛὸς, ὅπως τὴν τῶν Ἐθνῶν Ἐκκλησίαν ἔμπροσθεν· ἤτοι προτιμοτέραν τοῦ Ἰσραὴλ, ὑποταγεῖσαν ἐποίησεν, ἐκτείνας ϗ μέχρις αὐτῶν τὸ ὑπόδημα: δηλαδὴ τὸ Εὐαγγέλιον· ὅπερ μηνύων Ἰωάννης ὁ βαπτιϛὴς ἔλεγεν „ Ἔρχεται μετ' ἐμὲ, ὃν οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος· οὔπω γὰρ εἶχε καιρὸν ἐκφρασθῆναι τὸ Εὐαγγέλιον· οὕτω δὲ ϗ ὁ Παῦλος αὐτὸ καλεῖ· φησὶ γάρ· „ Ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης.

(1) Ὁ δὲ μέγας Βασίλειος λέγει „ Πόλιν περιοχῆς τάχα τὴν Ἐκκλησίαν λέγει· πόλιν μὲν, διὰ τὸ σύϛημα εἶναι νομίμως οἰκούμενον· περιοχῆς δὲ, διὰ τὴν τῆς πίϛεως περιβολήν· ὅθεν εὐσημότατά τις τῶν ἑρμηνευσάντων ἐκδέδωκεν, εἰς πόλιν περιπεφραγμένην· τίς οὖν δώσει μοι τὸ μέγα τοῦτο θέαμα ἰδεῖν Θεὸν ἀνθρώποις ἐπιδημοῦντα; τουτό ἐϛι τὸ εἰρημένον παρὰ τοῦ Κυρίου, ὅτι πολλοὶ Προφῆται ϗ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, ϗ οὐκ εἶδον· ϗ ὁ μέγας Ἀθανάσιος „ Πόλιν δὲ περιοχῆς τὴν Ἐκκλησίαν φησὶ, τὴν πεφραγμένην τῇ τοῦ Θεοῦ δυνάμει· ταῦτα δὲ ὁ Προφήτης ὡς ἐκ προσώπου τοῦ μετανοοῦντος λαοῦ τῶν Ἰουδαίων φησὶ, ϗ ἀγαπῶντος δέξασθαι τὴν πίϛιν τὴν εἰς Χριϛόν· ϗ ὁ Ἡσύχιος „ Πόλιν περιοχῆς τὴν Ἐκκλησίαν καλεῖ· ἐν ταύτῃ γὰρ ὅλα περιέχεται τὰ τοῦ Χριϛοῦ μυϛήρια, καὶ Νόμος καὶ Προφῆται ἐν τῇ αὐτῆς πολιτείᾳ περιέχονται· τὴν αὐτὴν δὲ καὶ Ἰδουμαίαν καλεῖ.

(2) Ἄλλος δὲ λέγει „ Θέα δὲ ὅπως οὐκ ηὔξατο ὁδηγηθῆναι ἕως τῆς Ἱερουσαλὴμ, ἢ ἕως τοῦ Γαλαάδ, ἢ ἕως τῆς Ἰδουμαίας, ἀλλ' ὥσπερ ἐκπλαγεὶς τὸ παράδοξον τῆς ἐπαγγελίας, εἰ οἱ τοῦ μεμισημένου ϗ πονηροῦ Ἠσαῦ ἀπόγονοι τοιαύτης ποτὲ τεύξονται χάριτος, ὡς ἐπιβῆναι αὐτοῖς τὸν Θεόν· ὡς δι' ὑποδημάτων τῶν κηρύκων, τὴν τῶν Ἐθνῶν κλῆσιν ποιησάμενος, πανταχοῦ γῆς τὴν ἑαυτοῦ συνεϛήσατο πόλιν, τὴν καθολικὴν Ἐκκλησίαν ϗ τὸ σύϛημα τῆς τῶν θεοσεβῶν πολιτείας· τίς μοι δώῃ, φησὶ, παραταθῆναι τὴν ζωὴν ἐπὶ τοῦ καιροῦ ἐκείνου, καθ' ὃν τὰ

"Ε-

10: „ Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡ-
„ μᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν
„ ταῖς δυνάμεσιν ἡμῶν;

Τοῦτο ἐρωτηματικῶς πρέπει νὰ ἀναγινώσκεται : ἤγουν ποῖος ἄλλος θέλει φέρει ἐμένα τὸν σκλαβωθέντα λαὸν εἰς τὴν Πόλιν Ἱερουσαλὴμ, πάρεξ ἐσὺ ὁ Θεὸς, ὁποῦ διὰ τὰς ἁμαρτίας ἀπέβαλες ἡμᾶς, καὶ παρέδωκες εἰς τοὺς Βαβυλωνίους; ἢ τίς ἄλλος ἔχει νὰ μὲ ὁδηγήσῃ ἕως εἰς τὴν Ἰδουμαίαν, πάρεξ σὺ ὁ Θεὸς, ὅς τις διὰ τὰς ἁμαρτίας ἡμῶν μᾶς ἐγκατέλιπες; καὶ δὲν εὐγῆκες μαζῆ μὲ τὰς ἐδικάς μας δυνάμεις : ἤγουν μὲ τὰ ςρατεύματά μας εἰς τὸν πόλεμον τῶν ἐχθρῶν μας; τὸ δὲ ἐξελεύσῃ ἐδῶ εἶναι ἀντιχρονισμὸς, ἀντὶ τοῦ οὐκ ἐξῆλθες· καθὼς εἶναι καὶ ἐκεῖνο, ὁποῦ εἶπεν ἀλλαχοῦ· „ Καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν· (Ψαλ. μγ'. 9.) (1)

11: „ Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ
„ ματαία σωτηρία ἀνθρώπου.

Περιττὸς εἶναι ἐδῶ ὁ καὶ σύνδεσμος· ἐπειδὴ καὶ ὁ Σύμμαχος οὕτως ἐξέδωκε· „ Σὺ δὸς ἡμῖν βοήθειαν· ματαία γὰρ ἡ παρὰ ἀνθρώπου σωτηρία. ἢ ὁ καὶ, νοεῖται ἀντὶ τοῦ γὰρ, κατὰ τὸν Θεοδώριτον. (2)

12: „ Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ
„ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας
„ ἡμᾶς.

Ἐπειδὴ, λέγει, ἡμεῖς ἀπὸ λόγου μας εἴμεθα ἀσθενεῖς καὶ ἀδύνατοι, διὰ τοῦτο μὲ τὴν βοήθειαν τοῦ Θεοῦ θέλομεν ποιήσομεν : ἤγουν θέλομεν ἀποκτήσομεν δύναμιν, καὶ ὁ Θεὸς θέλει ἀφανίσει τοὺς Βαβυλωνίους, ὁποῦ μᾶς θλίβουν. (3)

Αὐ-

Ἔθνη τὴν χάριν δέξεται; ἵνα ἴδω τὴν πόλιν τῆς περιοχῆς : τουτέςι τὴν Ἐκκλησίαν, τὴν περιφρουρουμένην τῇ τοῦ Θεοῦ δυνάμει, πρὸς τὸ μή τινα ὑπομεῖναι πολιορκίαν; κατὰ δὲ τὸν θεῖον Μάξιμον, πόλις περιοχῆς ἐςιν, ἡ ἐκ πολλῶν συνηθροισμένη θείων καὶ μυςικῶν θεωρημάτων σοφία, περιεχομένη : ἤγουν περιπεφραγμένη τοῖς τῶν ἀρετῶν ὀχυρώμασιν· εἰς ἣν ἀπάγεται πᾶς εὐσεβὴς ὑπ' ἄλλου μὲν οὐδενὸς, ὑπὸ μόνου δὲ τοῦ Θεοῦ τοῦ πάντας πρὸς ἑαυτὸν ἕλκοντος δι' ἄφατον ἀγαθότητος μέγεθος· Ἰδουμαία δὲ, ἡ πάντων τῶν ὑπὸ αἴσθησιν κτισμάτων σύςασις, περὶ ἣν ἡ ἐν Πνεύματι φυσικὴ θεωρία συνίςασθαι πέφυκε, καθ' ἣν ἐκ καλλονῆς καὶ μεγέθους κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς τῷ εὐσεβῶς ἀναλεγομένῳ τὴν τῶν ὄντων γνῶσιν θεωρεῖται· ἢ τυχὸν ἡ κατ' ἀρετὴν πρακτικὴν διὰ σαρκὸς φιλοσοφία, εἰς ἣν πάλιν αὐτὸς ὁδηγεῖ ὁ Κύριος χαριζόμενος τοῖς ἀγαπῶσιν αὐτόν· καὶ συντόμως εἰπεῖν, πόλις περιοχῆς ἡ τῶν νοητῶν ἐςι γνωςικὴ θεωρία· Ἰδουμαία δὲ ἡ τῶν αἰσθητῶν ἐπιςήμη· εἰς ἃς ἀπάγει καὶ ὁδηγεῖ ἡ μόνη τοῦ Θεοῦ καὶ Πατρὸς σοφία ὁ μονογενὴς Υἱός.

(1) Ὁ δὲ Ἡσύχιος λέγει „ Μόνου τοῦ Χριςοῦ τὸν Ἰσραὴλ πρὸς τὴν Ἐκκλησίαν ὁδηγῆσαι καθέςηκεν, ὃς ἀπώσατο τοὺς Ἰουδαίους, ὡς εἰς αὐτὸν μὴ πιςεύσαντας, ἀλλ' οὐ πάντας.

(2) Λέγει δὲ ὁ μέγας Βασίλειος „ Οὐκ ἐν περιβολῇ χρημάτων· οὐκ ἐν δυνάμεως ὄγκῳ, οὐκ ἐν ὑψώματι δόξης τὸ κρατεῖν περιγίνεται· ἀλλ' ἐκ τῆς καθ' ὑπερβολὴν θλίψεως χαρίζεται Κύριος τοῖς ἐκζητοῦσιν αὐτοῦ τὴν βοήθειαν· τοιοῦτος ἦν καὶ ὁ Παῦλος καυχήματα ἑαυτῷ τὰς θλίψεις ποιούμενος· καὶ διὰ τοῦτο ἠδύνατο λέγειν, ὅταν ἀσθενῶ τότε δυνατός εἰμι· ἄλλος δέ φησι (ἴσως ὁ θεῖος Μάξιμος·) θλίψις κατ' ἐμὲ φάναι, ἡ τοῦ θανάτου καὶ τῆς φθορᾶς ἐςι τυραννὶς καὶ ἐπικράτεια· βοήθεια δὲ, ἡ διὰ τῆς χάριτος βεβαία τῆς ἀναςάσεως ἐλπὶς, πρὸς ἣν ἀφορῶντες οἱ εὐσεβεῖς τὴν τοῦ θανάτου κατήφειαν ἀλύπως διαφέρουσιν· ἢ πάλιν θλίψις ἐςὶν, ὁ ὑπὲρ ἀρετῆς πόνος· βοήθεια δὲ, ἡ τοῦτον διαδεχομένη κατὰ Χριςοῦ χάριν ἀπάθεια, πρὸς ἣν πᾶσα συγκρινομένη ἀνθρώπων σωτηρία, ματαιότης ἐςὶ καὶ παντελὴς ἀνυπαρξία· τοῦτο γὰρ δίκαιον ἡγεῖσθαι τὴν ματαιότητα.

(3) Λέγει δὲ καὶ ὁ θεῖος Κύριλλος „ Ἀσθενὴς ἡ τοῦ ἀνθρώπου φύσις πρὸς τοὺς ἀοράτους ἐχθροὺς, καὶ ἁμαρτίᾳ εὐάλωτος· ἐν δὲ τῷ Θεῷ ποιήσομεν δύναμιν, ὃς γέγονεν ἡμῖν ὅπλον εὐδοκίας· κατὰ δὲ ἄλλον ἑρμηνευτὴν (ἤτοι τὸν θεῖον Μάξιμον·) ἐν τῷ Θεῷ ποιοῦσι δύναμιν : τουτέςι κτῶνται· οἱ μὴ ἐπιγράφοντες ἑαυτοῖς τῶν ἀρετῶν τὰ κατορθώματα, μηδὲ τῇ ἑαυτῶν σοφίᾳ τὴν τῶν θείων μυςηρίων κατάληψιν, ἐν οἷς αὐτὸς ὁ Θεὸς μονώτατος, καὶ ὅλος χωρῶν, πᾶσαν ἀρετὴν ἐργάζεται, καὶ χαρίζεται γνῶσιν, ἐξουδενῶν πάντας τοὺς ἀντικειμένους τῇ τε ἀρετῇ καὶ τῇ γνώσει πονηροὺς Δαίμονας, καὶ διὰ κακίας καὶ ἀγνωσίας θλίβειν ἐπιχειροῦντας τοὺς φοβουμένους αὐτόν· ἔφη δὲ καὶ ὁ Ἀθανάσιος „ Ὅταν ἐπὶ τῷ Θεῷ δυναμοῦσθαι ἐλπίσωμεν, τότε καὶ οὐδὲν ὄντας τοὺς ἐχθροὺς ἡμῶν εὑρήσομεν.

Αὕτη μὲν εἶναι ἡ κατὰ τὴν ἱστορίαν ἑρμηνεία τοῦ Ψαλμοῦ τούτου· πρέπει δὲ νὰ προσαρμόσωμεν αὐτὸν καὶ εἰς τοὺς Χριστιανοὺς, τοὺς πρώην ὄντας σκλάβους εἰς τοὺς Δαίμονας· ὁ Θεὸς, λέγει, ἀπώσω ἡμᾶς πρὸ τοῦ νὰ πιστεύσωμεν· καὶ καθεῖλες ἡμᾶς· ἐπειδὴ καὶ παρεχώρησας νὰ φθειρώμεθα ἀπὸ ἀλληλομαχίας καὶ πολέμους, καὶ τὰ ὅμοια κακά· καὶ ὠργίσθης μὲν ἐναντίον μας, διὰ τὶ δὲν ἐγνωρίσαμεν ἐσένα τὸν πλάστην μας· ἠλέησας δὲ ἡμᾶς, διὰ τὶ ἀπατήθημεν ἀπὸ τὸν Διάβολον· συνέσεισας δὲ τὴν γῆν καὶ συνετάραξας, ὅταν ἐπὶ γῆς ὡς ἄνθρωπος πολιτευόμενος, ἐδίδασκες τοὺς λαοὺς τὸ Εὐαγγέλιον τῆς βασιλείας· τότε γὰρ ἡ φήμη τῶν ἔργων καὶ λόγων σου ἐτάραξε καὶ ἐφόβησεν ὅλους τοὺς ἐπὶ γῆς ἀνθρώπους· διὰ τοῦτο λοιπὸν ἰάτρευσον τὰς κακώσεις καὶ πληγὰς τῆς ψυχῆς των, διὰ τὶ εὐγῆκαν ἔξω ἀπὸ τὸ πρέπον· ἔδειξας εἰς ἡμᾶς διὰ τοῦ Εὐαγγελίου σκληρὰς στράτας: ἤτοι τὴν στενὴν καὶ τεθλιμμένην ὁδόν· ἐπότισας ἡμᾶς οἶνον κατανύξεως: ἤτοι τὸ κήρυγμα τοῦ Εὐαγγελίου, τὸ ὁποῖον λέγεται μὲν κρασὶ, διὰ τὶ εὐφραίνει τὴν καρδίαν· λέγεται δὲ καὶ κατανύξεως, διὰ τὶ φέρει εἰς μετάνοιαν τοὺς πίνοντας· ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τὴν σφραγῖδα τοῦ Βαπτίσματος καὶ τὸν τύπον τοῦ ζωηφόρου σταυροῦ, διὰ νὰ γλυτώσουν μὲ αὐτὸ ἀπὸ τὰ διάφορα τόξα τῶν Δαιμόνων· καὶ τὰ ἑξῆς δὲ ὡσαύτως νοήσεις.

Τὸ δὲ, ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, νοήσεις περὶ τοῦ Χριστοῦ, ὡς προείπομεν, πλὴν τὸν Χριστὸν ὡς Θεὸν θέλεις νοήσεις· ἀγαλλιάσομαι δὲ καὶ διαμεριῶ Σίκιμα: ἤτοι τὰ τῶν Ἑβραίων θέλω δώσω εἰς τὸν λαὸν τῶν Χριστιανῶν, καὶ τὴν κοιλάδα τῶν Σκηνῶν θέλω διαμοιράσω εἰς αὐτούς· ὅλους γὰρ τοὺς τόπους τῶν Ἑβραίων ἐκληρονόμησαν οἱ Χριστιανοὶ ὕστερον μετὰ τὴν ἀπιστίαν τῶν Ἰουδαίων, καὶ Ἐκκλησίας ἔκτισαν εἰς τοὺς τόπους ἐκείνων· τὸ δὲ, ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ τὰ ἀκόλουθα, ὁ Χριστὸς τὰ λέγει ἐκ μέρους του, διδάσκων μὲ αὐτὰ ὅτι εἶναι συγγενὴς κατὰ τὴν ἀνθρωπίνην φύσιν μὲ αὐτοὺς, καὶ διὰ τοῦτο οἰκειοποιεῖται αὐτούς· ἢ νοεῖται καὶ ἄλλως· ὅτι ὁ Χριστὸς οἰκειοποιεῖται τοὺς Ἰσραηλίτας, διὰ ἐκείνους ὁποῦ ἔμελλον ἐξ αὐτῶν νὰ πιστεύσουν εἰς τὸν Χριστόν· ὑπόδημα δὲ τῆς αὐτοῦ θεότητος εἶναι ἡ θεοφόρος (ἤτοι ἡ Θεοϋπόστατος) σὰρξ, κατὰ τὸν θεῖον Βασίλειον, διὰ μέσου τῆς ὁποίας ἐπήγαινεν ὁ Κύριος εἰς τοὺς κατὰ τόπον ἀνθρώπους, καὶ ὑποτάσσων αὐτοὺς ἔφερεν εἰς θεογνωσίαν καὶ πίστιν· ἔπειτα ὁ Προφήτης Δαβὶδ ἐπιθυμήσας νὰ ἴδῃ καὶ αἰσθητῶς, ἐκεῖνα ὁποῦ εἶδεν ἐν τῷ Πνεύματι νοητῶς, λέγει· τίς θέλει μὲ φέρει εἰς τὴν πόλιν τῶν Χριστιανῶν: ἤτοι τὴν Ἐκκλησίαν, τὴν πολιτευομένην μὲν μὲ τοὺς νόμους τοῦ Εὐαγγελίου, τειχογυρισμένην δὲ μὲ τὸ αἷμα τοῦ Χριστοῦ, καὶ μὲ τὸ Βάπτισμα καὶ μὲ τὸν σταυρὸν καὶ μὲ τὴν παρεμβολὴν τῶν Ἀγγέλων, καὶ μὲ τοὺς διδασκάλους; ἢ καὶ τὴν περιέχουσαν κάθε ἀρετήν; ἢ ποῖος θέλει με ὁδηγήσει εἰς τὴν γῆν τῶν ἀπίστων Ἐθνῶν, διὰ νὰ ἰδῶ αὐτὰ πῶς ἐπίστευσαν; ποῖος δὲ ἄλλος, εἰμὴ σὺ ὁ Θεὸς ὁποῦ ἔσπρωξες ἡμᾶς; ἤγουν σὺ ὁ τοὺς ἐξ ἐμοῦ καταγομένους Χριστοκτόνους Ἰουδαίους ἀποβαλών; τὰ δὲ ἀκόλουθα λόγια λέγονται ἐκ προσώπου τῶν πιστῶν, πλὴν καθὼς ἡμεῖς ἀνωτέρω τὰ ἑρμηνεύσαμεν.

Ψαλ-

Ψαλμὸς Ξʹ.

„ Εἰς τὸ τέλος ἐν ὕμνοις, Ψαλμὸς τῷ Δαβὶδ.

Εἰς τὸ τέλος καὶ ὁ παρὼν Ψαλμὸς ἐπιγράφεται · διὰ τὶ διδάσκει νὰ βλέπωμεν εἰς τὸ τέλος τῆς ἐν αὐτῷ περιεχομένης προφητείας · καὶ οὗτος γὰρ ὁ Ψαλμὸς ἐρρέθη ἐκ προσώπου τοῦ ἐν Βαβυλῶνι σκλαβωθέντος λαοῦ τῶν Ἰουδαίων · προφητεύει δὲ τὴν ἐκ τῆς Βαβυλῶνος ἐλευθερίαν αὐτῶν · παροικήσω δὲ λέγει ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας · διὰ τοῦτο καὶ ἀκολούθως ἐτάχθη οὗτος μετὰ τὸν προλαβόντα Ψαλμόν · ἁρμόζει δὲ καὶ εἰς τὸν λαὸν τῶν Χριστιανῶν · ἐν ὕμνοις δὲ ἐπιγράφεται ὁ Ψαλμὸς, διὰ τὶ ὁ Δαβὶδ ὑμνεῖ μὲ αὐτὸν τὸν εὐεργέτην Θεὸν, διηγούμενος τὰς εὐεργεσίας αὐτοῦ (1) πρέπει δὲ νὰ ἠξεύρωμεν, ὅτι εἰς ὁποῖον Ψαλμὸν ἐπιγράφεται τὸ, ἐν ὕμνοις μόνον, ἐκεῖνος ὁ Ψαλμὸς ᾄδετο μὲ μόνον τὸ σόμα, χωρὶς Ψαλτήριον καὶ ὄργανον μουσικόν · εἰς ὁποῖον δὲ Ψαλμὸν ἐπιγράφεται · ἐν ὕμνοις Ψαλμὸς, ὁ Ψαλμὸς ἐκεῖνος ἐψάλλετο καὶ μὲ ὄργανον μουσικὸν κατὰ τὸν Ἀνώνυμον ἑρμηνευτὴν τῶν Ψαλμῶν.

1: „ Εἰσάκουσον ὁ Θεὸς τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.

Περὶ τοῦ εἰσάκουσον, καὶ τοῦ πρόσχες, εἴπομεν ἐν τῇ ἑρμηνείᾳ τοῦ ιϛʹ. Ψαλμοῦ · καὶ ὅρα περὶ τούτου ἐκεῖ. (2)

2: „ Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ „ ἐκέκραξα.

Πέρατα τῆς γῆς ἱστορικῶς ὀνομάζει τὴν Βαβυλῶνα · ἐπειδὴ καὶ αὐτὴ εὑρίσκεται εἰς τὰ ἄκρα τῆς ἡμερωτέρας οἰκουμένης · (3) ἀναγωγικῶς δὲ ἠμποροῦν νὰ νοηθοῦν πέρατα γῆς, αἱ γήϊναι φρον-

(1) Ὁ δὲ μέγας Ἀθανάσιος λέγει „ Εὐχαριστίαν ἀναφέρει τῷ Θεῷ ὁ Δαβὶδ ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ σωθέντος διὰ τῆς πίστεως λαοῦ, ἐπαγγέλλεταί τε ἐν ταῖς αἰωνίοις γεγονὼς μοναῖς · ἀκαταλήκτως ἀναπέμπειν τὴν αἴνεσιν. (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(2) Ὁ δὲ Θεολόγος Γρηγόριος λέγει διὰ Ἰάμβων τὶ διαφορὰν ἔχει ἡ δέησις ἀπὸ τὴν προσευχὴν „ Δέησιν οἴου τὴν αἴτησιν ἐνδεῶν „ Τὴν δὲ προσευχὴν ἴσθι τῶν ἀμεινόνων · ὁ δὲ Ἀθανάσιος λέγει „ Ἐπειδὴ εἰς τὴν καταδυναστείαν καὶ τυραννίδα τῶν Δαιμόνων ἀφορῶν ἀκηδίας πεπλήρωμαι, τούτου χάριν ἱκετεύω, ὅπως ἐπιφανεὶς τὴν τῶν βιαζομένων ἡμᾶς ἐξέλῃς χειρός.

(3) Ὁ δὲ Θεοδώριτος λέγει „ Ἐπειδὴ πολλοῖς σαθμοῖς ἡ Βαβυλὼν τῆς Παλαισίνης ἀπῴκισο, τὰς ἐσχατιὰς τῆς γῆς

τίδες, αἱ ὁποῖαι μακρύνουσι τὸν ἄνθρωπον ἀπὸ τὸν Θεόν.

„ Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου,
„ ἐν πέτρᾳ ὕψωσάς με.

Πέτραν ὀνομάζει ὁ Δαβὶδ τὴν πρὸς Θεὸν ἐλπίδα, τόσον διὰ τὸ ςερρὸν καὶ ἀσφαλὲς, ὅσον καὶ διὰ τὸ ὑψηλὸν καὶ μετεωρίζον αὐτῆς· ὅσαις φοραῖς, λέγει, ἐγὼ ἀκηδίασα, ἀποκαμὼν ἀπὸ τὰς θλίψεις, τόσαις φοραῖς ἐσὺ Κύριε, μὲ ἀνεβίβασας εἰς τὴν ἐδικήν σου ἐλπίδα, ὡσὰν εἰς κάμμίαν ὑψηλὴν καὶ ςερεὰν πέτραν. (1)

„ Ὡδήγησάς με.
3: „ Ὅτι ἐγενήθης ἐλπίς μου· πύργος ἰ-
„ σχύος ἀπὸ προσώπου ἐχθροῦ.

Σὺ, λέγει, Κύριε, μὲ ὡδήγησας εἰς τὰ καλὰ καὶ τὴν ἀρετὴν, ἐπειδὴ καὶ σὺ ἐγενήθης ἐλπὶς σωτηρίας μου· καὶ πρὸς τούτοις σὺ ἐγενήθης εἰς ἐμὲ πύργος ἰσχύος· ἤγουν ἰσχυρὸς ἔμπροσθεν τοῦ ἐχθροῦ μου, διὰ νὰ ἐμποδίζῃς αὐτὸν καὶ νὰ μὴν τὸν ἀφίνῃς νὰ μὲ πολεμῇ.

4: „ Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς
„ τοὺς αἰῶνας.

Τοῦτο τὸ ῥητὸν εἶναι προφητεία· προφητεύει γὰρ κατὰ τὸν Θεοδώριτον· διὰ τὴν ἐλευθερίαν τοῦ ἐν Βαβυλῶνι σκλαβωθέντος λαοῦ, καὶ διὰ τὴν ἀποκατάςασιν αὐτοῦ εἰς Ἱερουσαλήμ· σκήνωμα δὲ τοῦ Θεοῦ λέγει τὸν ἐν Ἱερουσαλὴμ ναὸν, καθὼς πολλαῖς φοραῖς εἴπομεν· εἰς τοὺς αἰῶνας δὲ εἶπεν, ἀντὶ τοῦ πάντοτε· εἰς ἡμᾶς δὲ τοὺς Χριςιανοὺς ἐπληρώθη ὕςερον ἡ προφητεία αὐτὴ, διὰ τὴν δυστροπίαν καὶ θεοκτονίαν, ὁποῦ ἐποίησαν οἱ Ἰουδαῖοι· διότι αὐτοὶ, ἐπειδὴ ἀφανίσθησαν ἀπὸ τοὺς Ῥωμαίους, διὰ τοῦτο δὲν ἐπαροίκησαν πλέον εἰς τὸν ἐν Ἱεροσολύμοις ναὸν, ὡσὰν ὁποῦ καὶ αὐτὸς ἐκρημνίσθη ἀπὸ τὰ θεμέλια· ὁ δὲ λαὸς τῶν Χριςιανῶν πάντοτε παροικεῖ εἰς κάθε ναὸν τοῦ Θεοῦ τὸν κατὰ τόπους εὑρισκόμενον· ἐπειδὴ εἰς κάθε τόπον, ναοὶ θεῖοι καὶ Ἐκκλησίαι εὑρίσκονται οἰκοδομημένοι. (2)

„ Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν
„ πτερύγων σου.

Ἐγὼ, λέγει, θέλω σκεπασθῶ ὡσὰν εὐτελὲς πουλίον, ὑποκάτω εἰς τὴν σκέπην τῶν πτερύγων σου Κύριε· τοῦτο δὲ εἶναι ὅμοιον μὲ τὸ „ Ἐν σκέ-

---

γῆς οἰκεῖν οἱ ταύτην οἰκοῦντες αἰχμάλωτοι ὑπελάμβανον· διὸ καὶ ἀπὸ τῶν ἄκρων τερμάτων τῆς οἰκουμένης φασὶ κράζειν· ὁ δὲ Ἀθανάσιος λέγει „ Τὸ δὲ ἀπὸ τῶν περάτων τῆς γῆς σημαίνει ὑπὲρ πάσης αὐτὸν τῆς οἰκουμένης ποιούμενον τὰς λιτάς· Ὁ δὲ Ἀνώνυμος Ἑρμηνευτὴς λέγει· γέγραπται ἐν τῷ Ἐκκλησιαςῇ· „ Μὴ σπεῦδε ἐπὶ ςόματί σου, καὶ καρδία σου μὴ ταχυνάτω τοῦ ἐξενέγκαι λόγον πρὸ προσώπου τοῦ Θεοῦ· ὅτι ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς· διὰ τοῦτο ἔςωσαν οἱ λόγοι σου ὀλίγοι (Ἐκκλ. ε'. 1.) σημαίνεται δὲ διὰ τούτων οὐ διάςασις τοπικὴ· ἀλλ' οὐσίας ἀκτίςου καὶ κτισμάτων διαφορὰ, τῆς τοῦ Θεοῦ ὑπάρξεως δι' ὑπεροχὴν τιμῆς ἄνω ἐν οὐρανῷ λεγομένης, τῆς δὲ τοῦ ἀνθρώπου κάτω εἰς γῆν τυγχανούσης, τῷ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἐληλυθέναι (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(1) Ὁ δὲ μέγας Ἀθανάσιος λέγει „ Ἀκηδιᾷ δὲ ἀληθῶς καὶ ἀδημονεῖ πᾶς θεοφιλὴς τῷ θνητῷ ἐνδιατρίβων βίῳ· ἀδημονεῖ δὲ καὶ διὰ φιλανθρωπίαν τὸ πλῆθος τῶν ἀπολλυμένων θεωρῶν· ἐπειδὴ οὖν καὶ Δαβὶδ εἰς τὴν καταδυναςείαν καὶ τυραννίδα τῶν Δαιμόνων ἀφορῶν ἀκηδίας πεπλήρωτο, τούτου χάριν ἱκετεύει, ὅπως ἐπιφανεὶς ὁ Κύριος τῆς τῶν βιαζομένων ἡμᾶς ἐξέληται χειρός· κρείττους δὲ γεγόναμεν τῶν Δαιμόνων διὰ Χριςοῦ, ὃς πέτρα τῷ μακαρίῳ κατωνόμαςαι Παύλῳ.

(2) Ὅθεν καὶ ἄλλος λέγει „ Ἁρμόττει δὲ καὶ τῷ ἐξ Ἐθνῶν πεπιςευκότι λαῷ· καὶ γὰρ οὗτοι τὴν Ἐκκλησίαν ὀνομάζουσι σκήνωμα ἐν ᾗ κατασκηνοῖ ὁ ἐκ Θεοῦ Θεὸς λόγος ἀθύτως καθ' ἑκάςην θυόμενος· πτέρυγας δὲ κἀνταῦθα Παλαιάν τε καὶ νέαν Διαθήκην ὀνομάζει· ὁ δὲ Θεοδώριτος πτέρυγας ὀνομάζει τὴν τοῦ Θεοῦ κηδεμονίαν.

σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με. (Ψαλ. ιϛ΄. 8.) ὃ καὶ ἀνάγνωθι.

5: „ Ὅτι σὺ ὁ Θεὸς εἰσήκουσας τῶν εὐ- „ χῶν μου· ἔδωκας κληρονομίαν τοῖς „ φοβουμένοις τὸ ὄνομά σου.

Σὺ, λέγει, Κύριε, ἤκουσας τὰς προσευχάς μου, ὅταν σὲ ἐπικαλέσθηκα· καὶ σὺ ἔδωκας εἰς ἐκείνους, ὁποῦ φοβοῦνται τὸ ὄνομά σου κληρονομίαν· ἡ ὁποία ἱστορικῶς μὲν, εἶναι ἡ κάτω Ἱερουσαλὴμ καὶ ἡ γῆ τῆς ἐπαγγελίας· ἀναγωγικῶς δὲ, εἶναι ἡ ἄνω Ἱερουσαλὴμ, καὶ ἡ τῶν οὐρανῶν βασιλεία κατὰ τὸν Ἀθανάσιον· „ Δεῦτε γὰρ, θέλει εἰπῇ ὁ Κύριος, οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς Κόσμου. (Ματθ. κε΄. 34.) (1)

6: „ Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως „ προσθήσεις.

Σὺ, λέγει, Κύριε, θέλεις προσθέσεις ἡμέρας πολλὰς ἐπάνω εἰς ἡμέρας τοῦ βασιλέως Ζοροβάβελ, διὰ τὴν θεοφιλίαν καὶ τὴν φρόνησιν αὐτοῦ· τὰ δὲ ἀκόλουθα λόγια πλέον δὲν ἁρμόζουν εἰς τὸν παλαιὸν Ζοροβάβελ, ἀλλὰ εἰς τὸν νέον κατὰ σάρκα Ζοροβάβελ: ἤγουν εἰς τὸν Χριστὸν, ὡς ἑρμηνεύει ὁ Θεοδώριτος· ἐπειδὴ καὶ ὁ Ζοροβάβελ τύπος ἦτον τοῦ Χριστοῦ· διὰ τί καθὼς ὁ Ζοροβάβελ ἐπανεγύρισε τοὺς αἰχμαλώτους Ἑβραίους ἀπὸ τὴν Βαβυλῶνα εἰς τὴν κάτω Ἱερουσαλὴμ· ἔτζι καὶ ὁ Χριστὸς ἐπανεγύρισε τοὺς αἰχμαλώτους ἀνθρώπους ἀπὸ τὴν πλάνην τῶν εἰδώλων εἰς τὴν ἄνω Ἱερουσαλὴμ καὶ εἰς τὸν οὐρανὸν, ὅπου ἦτον ἡ ἀληθινὴ πατρὶς τῶν ἀνθρώπων· ἄνωθεν γὰρ καὶ ἐκ Θεοῦ ἐδόθη ἐν τῇ ἀρχῇ τοῦ Κόσμου ἡ ψυχὴ εἰς τοὺς ἀνθρώπους· (2)

„ Τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ „ γενεᾶς.

Τὰ ἔτη, λέγει, τῆς βασιλείας τοῦ Χριστοῦ θέλουν εἶναι ἕως τὴν τελευταίαν ἡμέραν τῶν δύω γενεῶν: δηλαδὴ τοῦ παλαιοῦ λαοῦ Ἰσραὴλ, καὶ τοῦ νέου τοῦ ἐξ ἐθνῶν· ἤτοι ἕως τῆς συντελείας τοῦ Κόσμου· ἕως τότε γὰρ ἔχουν νὰ ἐκτανθοῦν ἡ δύω γενεαῖς αὐταῖς· ἀγκαλὰ καὶ μετὰ τὴν συντέλειαν, πάλιν ἔχει νὰ διαμένῃ αἰώνιος ἡ τοῦ Χριστοῦ βασιλεία.

7: „ Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ „ Θεοῦ.

Τοῦτο τὸ ῥητὸν εἶναι ἐξήγησις τοῦ ἀνωτέρω ἀπὸ

(1) Ὁ δὲ Ἀθανάσιος λέγει „ Ἡ κληρονομία τῆς βασιλείας τῶν οὐρανῶν, δοθήσεται ἐν τῷ μέλλοντι αἰῶνι· πῶς οὖν λέγει ἔδωκας; ὅτι, εἰ καὶ προσδοκᾶται μετὰ τὴν Ἀνάστασιν, ἀλλά γε τῷ ἤδη ηὐτρεπίσθαι, δέδοται τοῖς αὐτὴν κατὰ καιρὸν τὸν δέοντα ληψομένης· ὅρα δὲ, ὅτι τοῖς φοβουμένοις τὸν Θεὸν δέδοται ἡ κληρονομία· εἰ οὖν αὐτοῖς ὑποδεεστέροις οὖσι (δέδοται·) πολλῷ μᾶλλον τοῖς ὑπερἀναβεβηκόσι, εἴτουν ἀγαπῶσι τὸν Θεόν;

(2) Ὁ δὲ θεῖος Κύριλλος λέγει „ Μὴ ὑπολάβῃς δὲ ὅτι περὶ ἑνός τινος βασιλέως τὰ τοιάδε φησίν· ἴσθι δὲ μᾶλλον ὅτι περὶ παντὸς τοῦ ἐκλελεγμένου εἰς βασιλείαν οὐρανῶν· ὃν καὶ διαμένειν εἰς τὸν αἰῶνά φησιν ἐνώπιον τοῦ Θεοῦ· οἱ γὰρ σύμμορφοι γεγονότες Χριστῷ διὰ τὸ τῶν αὐτῶν κοινωνῆσαι παθημάτων, καὶ συμβασιλεύσουσιν αὐτῷ διηνεκῶς, καὶ συνέσονται διαπαντὸς, βασιλείαν παραλαμβάνοντες, ὅ φησι Παῦλος, ἀσάλευτον προειπὼν μέν τοι ὁ Προφήτης ὅτι σὺ ὁ Θεὸς εἰσήκουσας τῶν εὐχῶν μου, καθ' ὑπερβατὸν συνῆψε τὸ, ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις· ἀκούσας γάρ φησι τῶν εὐχῶν μου ἡμέρας ἐφ' ἡμέρας προσέθηκας· διὰ μέσου δὲ ἐνεβλήθη ἡ περὶ τῶν φοβουμένων τὸ ὄνομα Κυρίου μνήμη, ἐπειδὴ καὶ αὐτοῖς ἐπήγγελται τὴν κληρονομίαν ἡ προφητεία· ἦν δὲ ἡ κληρονομία ἡ αἰώνιος ζωή· ἕτερος δ' ἂν φαίη τὸν Δαβὶδ περὶ ἑαυτοῦ ταῦτα λέγειν· ὡς ἄρα ἔσται μνημονευόμενος, οὐ καθ' ὃν μόνον ἐβίου χρόνον, ἀλλὰ καὶ καθ' ἑκάστην γενεάν· ἢ κατὰ δύω τινὰς γενεὰς αἰνιττομένου τοῦ λόγου τόντε ἐκ περιτομῆς λαὸν καὶ τὸν ἐξ Ἐθνῶν· καὶ ἐν μὲν ἀνθρώποις ταύτης τεύξεται τῆς μακαριότητος· παρὰ δὲ Θεῷ οὔποτε ἀπολεῖται, ἐν ταῖς ὄψεσι ταῖς ἀχράντοις διηνεκῶς εὑρισκόμενος.

ἀπὸ ὅλους δὲ τοὺς ἀπ' αἰῶνος βασιλεῖς, μόνος ὁ Χριςὸς ζῇ ἐνώπιον τοῦ Θεοῦ · διὰ τὶ ἀγκαλὰ καὶ αὐτὸς ἀπέθανεν, ἀλλὰ πάλιν ἀνέςη μετὰ τρεῖς ἡμέρας, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός.

„ Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκ„ ζητήσει; "

Ποῖος, λέγει, θέλει κατανοήσει τὸ ἔλεος καὶ τὴν ἀλήθειαν τοῦ Θεοῦ; ἤτοι οὐδείς· ἐπειδὴ ὁ Θεὸς εἶναι πέλαγος ἐλέους · εἶναι δὲ καὶ ἀληθείας ἄβυσσος (1) περὶ τοῦ ἐλέους καὶ τῆς ἀληθείας εἴπομεν καὶ εἰς τὸν νς' · Ψαλμὸν ἐν τῷ „ Ἐξαπέςειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ · καὶ ὅρα ἐκεῖ.

8 : „ Οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς „ αἰῶνας, τοῦ ἀποδοῦναί με τὰς εὐ„ χάς μου ἡμέραν ἐξ ἡμέρας.

Καθὼς, λέγει, τώρα ψάλλω καὶ ὑμνολογῶ εἰς τὸ ὄνομά σου Κύριε, ἔτζι καὶ πάντοτε ἔχω νὰ σὲ ὑμνολογήσω · ἵνα μὲ τοῦτον τὸν τρόπον ἀποδώσω εἰς ἐσένα τὰς ὑποσχέσεις μου, ἀπὸ μίαν ἡμέραν εἰς ἄλλην ἡμέραν: ἤτοι μὲ τὴν διαδοχὴν τῶν ἡμερῶν · διότι ὑπέσχετο πολλαῖς φοραῖς ὁ Δαβὶδ εἰς τοὺς προλαβόντας Ψαλμοὺς, ὅτι θέλει ὑμνῇ πάντοτε τὸν Θεόν. (2)

Ψαλμὸς ΞΑ'.

„ Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθοὺμ, Ψαλμὸς τῷ Δαβίδ.

Εἰς τὸ τέλος μὲν ἐπιγράφεται ὁ Ψαλμὸς οὗτος, διὰ τὶ ἀποβλέπει εἰς τέλος ἡ ἐν αὐτῷ προφητεία · προφητεύει γὰρ τὴν μέχρις αἵματος ἔνςασιν, ὁποῦ ἔδειξαν οἱ Μακκαβαῖοι ὑπὲρ τῆς εὐσεβείας κατὰ τὸν Θεοδώριτον, εἰς τὸν καιρὸν Ἀντιόχου βασιλέως τοῦ Ἐπιφανοῦς · τὸ δὲ ὑπὲρ Ἰδιθοὺμ, εἶναι ἀντὶ τοῦ, παρὰ Ἰδιθοὺμ · ἐπειδὴ καὶ ἀπὸ τὸν Ἰδιθοὺμ ἐμελῳδήθη · ἀρχηγὸς δὲ τοῦ χοροῦ τῶν Ψαλτῶν ἦτον ὁ Ἰδιθοὺμ, καθὼς εἴπομεν εἰς τὸ προοίμιον τῆς βίβλου ταύτης ἐν κεφαλαίῳ ε'. ὁ Ψαλμὸς δὲ οὗτος εἶναι μία παρακίνησις εἰς τὸ νὰ ὑπομένῃ τινὰς τοὺς πειρασμοὺς, καὶ εἰς τὸ νὰ ἐλπίζῃ πρὸς τὸν Θεόν. (3)

1 : „ Οὐ-

(1) Ὁ δὲ μέγας Ἀθανάσιος ἐξ ἀναςροφῆς ἀναγινώσκει τὸ ῥητὸν τοῦτο λέγων „ Εἴτις ἐκζητήσει τὸ ἔλεος αὐτοῦ ϗ τὴν ἀλήθειαν, οὗτος ἐν τοῖς ἀτελευτήτοις αἰῶσι διαμενεῖ ἐνώπιον τοῦ Θεοῦ · τοῦτο δὲ σαφέςερον ὁ Σύμμαχος ἡρμήνευσεν „ Ἔλεος ϗ ἀλήθεια διατηρήσουσιν αὐτόν· ταῦτα γὰρ τῆς ἀθανασίας αὐτῷ ἔςαι αἴτια, τὸ τοῦ Θεοῦ ἔλεος ϗ ἡ ἀλήθεια · κατὰ δὲ τὸν Θεοδώριτον, τίς φησιν ἱκανὸς τὸν κεκρυμμένον ϗ δίκαιον τοῦ Θεοῦ ἔλεον καταμαθεῖν ἀκριβῶς; τὰ γὰρ κρίματα αὐτοῦ ἄβυσσος.

(2) Λέγει δὲ ϗ ὁ Ἀθανάσιος „ Οὕτω ψαλῶ · πῶς; ἢ διαμείνας ἐνώπιόν σου ἐν τῷ μέλλοντι αἰῶνι· τότε γὰρ τῆς μακαρίας ἐκείνης ςάσεως ἀξιωθεὶς ἀδιαλείπτως ἀναπέμψω τοὺς ὕμνους. (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(3) Ὁ δὲ μέγας Βασίλειος λέγει „ Δύο Ψαλμοὺς (τρεῖς δὲ ὅμως εἰσιν· ἔςι γὰρ ϗ ὁ ος'. Ψαλμὸς ἐπιγεγραμ-

1: „ Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυ-
„ χή μου; παρ' αὐτῷ γὰρ τὸ σω-
„ τήριόν μου.

Ἐκ προσώπου τοῦ συςήματος τῶν εὐσεβῶν Μακκαβαίων, ταῦτα τὰ λόγια λέγονται πρὸς τοὺς πολεμοῦντας τὸ γένος τῶν Ἑβραίων τυράννους καὶ βασιλεῖς Μακεδόνας· οἵτινες ἐσπούδαζον νὰ χωρίσουν αὐτοὺς ἀπὸ τοὺς νόμους τοῦ Θεοῦ, καὶ ἀπὸ τὰς πατρίους συνηθείας· ἁρμόζουσι δὲ ταῦτα καὶ εἰς ὅλους ἐκείνους τοὺς Χριςιανοὺς, ὁποῦ μιμοῦνται τὴν ὑπὲρ ἀρετῆς ἔνςασιν καὶ ζῆλον τῶν Μακκαβαίων· κατ' ἐρώτησιν δὲ πρέπει νὰ ἀναγινώσκωνται τὰ λόγια ταῦτα· δηλαδὴ, ὅτι δὲν θέλει ὑποταχθῆ ἡ ψυχή μου (ἤτοι ἐγώ·) περισσότερον εἰς τὸν Θεὸν, ὁποῦ προςάζει νὰ μὴ χωρισθῆ τινας ἀπὸ τοὺς νόμους του, παρὰ εἰς ἄνθρωπον; ναὶ θέλω ὑποταχθῶ· ἐπειδὴ καὶ κοντὰ εἰς τὸν Θεὸν εὑρίσκεται ἡ σωτηρία μου. (1)

2: „ Καὶ γὰρ αὐτὸς Θεός μου καὶ Σω-
„ τήρ μου, ἀντιλήπτωρ μου· οὐ μὴ σα-
„ λευθῶ ἐπιπλεῖον.

Ἐγὼ, λέγει, δὲν θέλω φοβηθῶ πλέον πειρασμοὺς, ἀγκαλὰ καὶ πρὸ τοῦ νὰ πέσω εἰς τοὺς πειρασμοὺς, ἐφοβήθην ὡς ἄνθρωπος· σάλον γὰρ ἐδῶ τώρα τὴν δειλίαν καὶ τὸν φόβον ὠνόμασεν (2)

3: „ Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον;
„ φονεύετε πάντες ὑμεῖς ὡς τοίχῳ κε-
„ κλιμένῳ καὶ φραγμῷ ὠσμένῳ;

Ἕως

γραμμένος τῷ Ἰδιθούμ·) ἔγνωμεν ὑπὲρ Ἰδιθοὺμ ἔχοντας τὴν ἐπιγραφὴν πέντε τριακοςὸν ὄγδοον ϗ τὸν ἐν χερσὶ, ϗ λογιζόμεθα μὲν Δαβὶδ εἶναι τὴν σύνταξιν τῆς πραγματείας, τῷ δὲ Ἰδιθοὺμ δεδόσθαι εἰς ὠφέλειαν αὐτοῦ ἐπὶ διορθώσει τῶν ἐν τῇ ψυχῇ παθημάτων, ϗ εἰς μελῳδίαν τὴν ἐπὶ τοῦ λαοῦ· δι' ἧς ϗ ὁ Θεὸς ἐδοξάζετο, ϗ οἱ ἀκούοντες τῆς ἁρμονίας ἐπηνωρθοῦντο τὰ ἤθη· προσθέττει δὲ ὁ Εὐσέβιος, ὅτι διὰ τοῦτο ἔδωκεν εἰς τὸν Ἰδιθοὺμ ὁ Δαβὶδ τὸν Ψαλμὸν τοῦτον, διὰ τί ὁ Ἰδιθοὺμ ἔπεσεν εἰς ἁμαρτίαν, ϗ ἐχρειάζετο τῆς παρὰ τοῦ Ψαλμοῦ ὠφελείας· ὅτι δὲ ὁ Ἰδιθοὺμ ἦτον Ἱεροψάλτης τοῦ ναοῦ τοῦ Κυρίου, μαρτυροῦσι τὰ Παραλειπόμενα λέγοντα. „ Καὶ μετ' αὐτοῦ Αἰμὰν ϗ Ἰδιθοὺμ, ϗ οἱ λοιποὶ ἐκλεγέντες ἐπ' ὀνόματος τοῦ αἰνεῖν τὸν Κύριον. (Α'. Παρ. ις'. 41.) Περὶ ὑπομονῆς δὲ (λέγει ὁ αὐτὸς Βασίλειος.) ἑκάτερος ὁ Ψαλμὸς τὴν πλείςην ποιεῖται πραγματείαν, δι' ἧς καταςέλλεται μὲν τῆς ψυχῆς τὸ θυμούμενον, ὑπερηφανίας δὲ πάσης ἐξορισθείσης, κατορθοῦται ταπείνωσις· ἀμήχανον γὰρ τὸν μὴ καταδεξάμενον τὸ πρὸς πάντας ὑποδεὲς ϗ ἔσχατον, δυνηθῆναί ποτε ἢ λοιδορούμενον θυμοῦ κρατῆσαι, ἢ θλιβόμενον διὰ μακροθυμίας περιγενέσθαι τῶν πειρασμῶν· ὁ γὰρ τὴν ἄκραν ταπείνωσιν κατορθώσας, ἐν ταῖς λοιδορίαις πλείονα ἑαυτοῦ προκαταγνοὺς τὴν εὐτέλειαν, οὐ κινηθήσεται τὴν ψυχὴν ὑπὸ τῶν ῥημάτων τῆς ἀτιμίας.

(1) Λέγει δὲ ὁ μέγας Βασίλειος „ Δεῖ τὴν ψυχὴν ἄρχειν μὲν τῶν παθῶν, δουλεύειν δὲ τῷ Θεῷ· ἀμήχανον γὰρ αὐτὴν ϗ ὑπὸ τῆς ἁμαρτίας βασιλεύεσθαι, ϗ ὑπὸ τοῦ Θεοῦ· ἀλλὰ δεῖ κακίας μὲν ἐπικρατεῖν, τῷ Δεσπότῃ δὲ τῶν ὅλων ὑποτετάχθαι· διὰ τοῦτο ἀποτεινόμενος ὁ Προφήτης τῷ ἐπάγοντι τοὺς πειρασμοὺς (ἤτοι τῷ Διαβόλῳ) τί με βιάζῃ φησὶ δουλεύειν οἷς μὴ θέμις; ἔχω Δεσπότην· γνωρίζω τὸν βασιλέα· ὁ δὲ Νύσσης φησὶ „ Τὸ ὑποταγῆναι τῷ Θεῷ τὴν ψυχὴν, σωτηρίαν εἶναι ὁ Δαβὶδ ἀπεφήνατο· ὁ δὲ Κύριλλος „ Ἄριςον ϗ ἐπωφελὲς, ϗ ἁπάσης ἡμῖν ἐλπίδος πρόξενον ἀγαθῆς τὸ ὑποτάσσεσθαι Κυρίῳ, ϗ ὑποφέρειν αὐτῷ τῆς διανοίας τὸν αὐχένα, ϗ προσοικειοῦσθαι αὐτῷ διὰ πάσης ἐπιεικείας, τὸ προφητικὸν ἐκεῖνο λέγοντας· Ἰδοὺ ἤδε ἡμεῖς ἐσόμεθά σοι, ὅτι Κύριος ὁ Θεὸς ἡμῶν εἶ· ἔφη δὲ ϗ ὁ Θεοδώριτος „ Αὕτη σοι ὦ ψυχὴ ἡ δουλεία παρέχει τὴν σωτηρίαν· αὐτὸς γάρ ἐςι Θεὸς, ϗ τῶν ἀγαθῶν χορηγὸς, ϗ τοὺς κλονουμένους ἐρεῖσαι δυνάμενος. ϗ ὁ Ἀθανάσιος „ Εἰ ϗ σεσάλευσαί φησιν ὦ ψυχὴ, ϗ τῆς κατ' ἀρετὴν ἐξέπεσας ςάσεως, ἀλλ' ὑποτάγηθι τῷ Κυρίῳ, ὅτι αὐτός σου ϗ ἀντιλήψεται, ϗ σώσει τοῦ μὴ ἐπιπλεῖον σαλεύεσθαι.

(2) Λέγει δὲ ὁ μέγας Βασίλειος „ Τί δέ ἐςι τὸ σωτήριον ἑρμηνεύει· οὐκ ἐνέργειά τις ψιλὴ χάριν τινὰ παρεχομένη εἰς ἀπαλλαγὴν ἀσθενείας, ϗ σώματος εὐεξίαν· ἀλλὰ τί ἐςι τὸ σωτήριον; Θεὸς ἡμῶν ἐςὶν ὁ ἐκ τοῦ Θεοῦ Υἱὸς, ὁ αὐτὸς ϗ Σωτὴρ τοῦ γένους τῶν ἀνθρώπων· ὁ τὸ ἀσθενὲς ἡμῶν ὑπερειδών· ὁ τὸν ἐκ τῶν πειρασμῶν ἐγγινόμενον ταῖς ψυχαῖς ἡμῶν σάλον ἐπανορθούμενος· ἀνθρωπίνως δὲ ὁμολογεῖ τὸν σάλον· ἀμήχανον γὰρ ἐν ἀνθρώπου ψυ-

Ἕως πότε, λέγει, ἐσεῖς οἱ ἐχθροί μου καὶ τύραννοι, ὁρμᾶτε καὶ ἐπαναβαίνετε εἰς ἐμένα, ὁποῦ εἶμαι ἄνθρωπος ἀσθενής: καθὼς τινας ἐπαναβαίνει ἐπάνω εἰς ἕνα τοῖχον, ὁποῦ κλίνει διὰ νὰ πέσῃ; καὶ ἐπάνω εἰς ἕνα φραγμὸν, ὁποῦ ἐτινάχθη ἔξω, καὶ εἶναι ἕτοιμος νὰ κρημνισθῇ μὲ τελειότητα; τὸ δὲ ἕως πότε δηλοῖ, ὅτι καὶ ἄλλαις πολλαῖς φοραῖς ὥρμησαν οἱ ἐχθροὶ κατ' ἐπάνω του· τὸ δὲ, φονεύετε πάντες ὑμεῖς, διὰ μέσου εὑρίσκεται καθ' ὑπερβατὸν ὡς λέγει ὁ Θεοδώριτος· ἤτοι „ Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον, ὡς ἐπὶ τοίχῳ κεκλιμένῳ, καὶ φραγμῷ ὠσμένῳ; ἕως πότε φονεύετε πάντες ὑμεῖς; μὲ τὰ λόγια δὲ ταῦτα ὁμολογοῦσιν οἱ Μακκαβαῖοι τὴν ἀσθένειαν καὶ ἀδυναμίαν τους· ἐπειδὴ καὶ ἥμαρτον εἰς τὸν Θεὸν, καὶ διὰ τοῦτο εἶχον πρὸ τοῦ πολλοὺς πειρασμοὺς καὶ συμφορὰς, καθὼς ἀναφέρει ἡ ἱςορία τῶν Μακκαβαίων. (1)

4: „ Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο „ ἀπώσασθαι.

Οἱ ἐχθροὶ, λέγει, καὶ τύραννοι οὗτοι, ἐμελέτησαν νὰ διώξουν ἀπὸ λόγου μου τὴν εἰς τὸν Θεὸν ὑποταγὴν καὶ δουλείαν, καὶ νά με ξεγυμνώσουν ἀπὸ αὐτὴν, ἥτις εἶναι τιμὴ ἐδική μου κατὰ τὸν Θεοδώριτον· ἐπειδὴ μὲ αὐτὴν δοξάζομαι καὶ τιμῶμαι· διὰ τὶ, ἀνίσως εἰς τὸν δοῦλον εἶναι τιμὴ τὸ νὰ δουλεύῃ τὸν ἐπίγειον βασιλέα καὶ θνητὸν αὐθέντην του· πόσῳ μᾶλλον εἶναι τιμὴ εἰς τὸν θνητὸν ἄνθρωπον, νὰ δουλεύῃ τὸν ἀθάνατον καὶ ἐπουράνιον βασιλέα Θεόν; (2)

„ Ἔδραμον ἐν δίψῃ.

Δὲν ἦλθον, λέγει, κατ' ἐμοῦ ἁπλῶς οἱ ἐχθροὶ, ἀλλὰ ἐσπούδασαν μὲ πολλὴν ἐπιθυμίαν νὰ μὲ πολεμήσουν· τὴν ἄκραν γὰρ ἐπιθυμίαν ἡ δίψα δηλοῖ· ἐπειδὴ, καθὼς ὁ Ἰώσηπος ἱςορεῖ εἰς τοὺς περὶ Μακκαβαίων λόγους, κάθε τρόπον ἐκίνησαν ὁ βασιλεὺς Ἀντίοχος καὶ οἱ μετ' αὐτοῦ, διὰ νὰ πείσουν τοὺς Ἰουδαίους νὰ ἀθετήσουν τὸν νόμον καὶ τὰ πάτρια ἔθη των.

„ Τῷ

ψυχῇ μὴ γενέσθαι τινὰ σάλον ἀπὸ τῶν πειρασμῶν· ἕως μὲν οὖν μικρὰ ἁμαρτάνομεν ϗ ὀλίγα, ὥσπερ τὰ φυτὰ ἀπὸ πραείας αὔρας περιδονούμενα, ἠρέμα πως σαλευόμεθα.. ἐπειδὰν δὲ πλείω ϗ μείζονα ᾖ τὰ κακὰ, κατὰ τὴν ἀναλογίαν τῆς τῶν ἁμαρτημάτων αὐξήσεως, ϗ ὁ σάλος ἐπιτείνεσθαι πέφυκεν· ἐγὼ τοίνυν, ἐσαλεύθην μὲν ὡς ἄνθρωπος, ἐπιπλεῖον δὲ οὐ μὴ σαλευθῶ διὰ τὸ ἀντιςηρίζεσθαι τῇ χειρὶ τοῦ Σωτῆρος· ἄλλος δὲ ἑρμηνευτὴς λέγει „ Σαλεύεται πᾶς ὁ ἐξ ἀρετῆς εἰς κακίαν μεταπίπτων· ἀλλ' οὐκ ἀθρόως συμβαίνει τοῦτο, προτέρας γινομένης ταραχῆς ἐν λογισμοῖς διὰ πάθῶν· μεθ' ἣν εἰ προσληφθείη κατάλληλος πρᾶξις τοῖς τεταραγμένοις λογισμοῖς, κλόνος ϗ πτῶμα γίνεται· ἀρχομένης τοιγαροῦν αἰσχρᾶς ἐπιθυμίας, ἢ ἑτέρου τινὸς κινήματος, ἐπισχεῖν δεῖ τῷ εὐσεβεῖ λογισμῷ, συλλαμβανομένου Θεοῦ, τὴν ἐπὶ τὴν πρᾶξιν ὁρμὴν, ἵνα μὴ ἐπιπλεῖον κλόνος γένηται.

(1) Λέγει δὲ ὁ μέγας Βασίλειος „ Ἐνδείκνυται τοίνυν ὁ λόγος, ὅτι ἡ φύσις τοῦ ἀνθρώπου σύνθετος οὖσα, ἐκλίθη μὲν ὑπὸ τῆς ἁμαρτίας, λυθῆναι δὲ πάντως αὐτὴν χρὴ, ὥςε ὑπὸ τοῦ ἐξ ἀρχῆς οἰκοδομήσαντος αὐτὴν τεχνίτου πάλιν ἀνασκευασθεῖσαν, τὸ ἀσφαλὲς ϗ ἀκατάλυτον, ϗ πρὸς δευτέραν πτῶσιν ἀνεπιβούλευτον ἀπολαβεῖν... τοῖς πονηροῖς τοίνυν ὑπηρέταις τοῦ Διαβόλου μάχεται τὴν ἀμετρίαν αἰτιώμενος ὁ λόγος, τῆς παρ' αὐτῶν ἐπαγομένης ἐπιβουλῆς· ὅτι οἱ μὲν ἄνθρωποι εἰσὶ ζῶον ἀσθενὲς, ὑμεῖς δὲ ἐπιτίθεσθε, οὐκ ἀρκούμενοι τῇ πρώτῃ προσβολῇ, ἀλλὰ ϗ δευτέραν ϗ τρίτην ἐπάγετε· ὁ δὲ Θεοδώριτος οὕτως ἑρμηνεύει „ Μὴ σφόδρα ἡμῶν, ὡς ἀσθενῶν κατεπαίρεσθαι· ἔχομεν γὰρ ἐπίκουρον τὸν τῶν ὅλων Θεόν· εἶπε δὲ ϗ ὁ Ἀθανάσιος „ Μέχρις οὖν πότε τοσοῦτον ἐπιτίθεσθαι, μάτην ἡμᾶς ἀδικεῖν προῃρημένοι;

(2) Λέγει δὲ ὁ θεῖος Βασίλειος „ Τιμὴ ἀνθρώπου τὸ αἷμα τοῦ Χριςοῦ· τιμῆς γάρ φησιν ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων· ταύτην οὖν τὴν τιμὴν ἐβουλεύσαντο ἄχρηςον ἡμῖν καταςῆσαι, τοὺς ἅπαξ ἐλευθερωθέντας πάλιν εἰς δουλείαν ἐπάγοντες οἱ ςρατιῶται τοῦ πονηροῦ· ὁ δὲ Κύριλλος λέγει „ Μόνον γὰρ οὐχὶ ϗ αὐτοῦ τοῦ λογικοῦ (ὅπερ τιμὴ ἀνθρώπου ἐςὶν) οἱ Δαίμονες ἡμᾶς ἀπεςέρησαν, ξύλα ϗ λίθους ἀναγκάσαντες προσκυνεῖν· ὡς ϗ λέγεσθαι περὶ ἡμῶν· ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· ϗ ὁ Θεοδώριτος λέγει „ Τιμὴ εὐσεβῶν τὸ δουλεύειν Θεῷ· εἶπε δὲ ϗ ὁ Ἀνώνυμος ἑρμηνευτὴς „ Ἀρετὴ ϗ εὐσέβεια τιμὴ τοῦ σοφοῦ, κατὰ τὸ „ Δόξα ϗ τιμὴ καὶ εἰ-

„ Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ „ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

Μὲ τὸ ςόμα, λέγει, ἐπαινοῦν τοὺς Ἰουδαίους ὁ Ἀντίοχος καὶ οἱ μετ' αὐτοῦ, κολακεύοντες αὐτοὺς διὰ νὰ ἀθετήσουν τὸν νόμον, μὲ τὴν καρδίαν τους δὲ ὕβριζον αὐτοὺς ὡς ἐχθροὺς, διὰ τὴν διαφορὰν τῆς εὐσεβοῦς πίςεως, ὁποῦ εἶχον· καὶ κατὰ μὲν τὸ φαινόμενον, ἐσυμβούλευον αὐτοὺς ὡς φίλοι, κατὰ δὲ τὸ κεκρυμμένον, ἀπατοῦσαν αὐτοὺς ὡς ἐχθροί. (1)

5: „ Πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή „ μου, ὅτι παρ' αὐτῷ ἡ ὑπομονή μου.

Πάλιν ἐδῶ ἐπαναλαμβάνει τὸν λόγον, ὁποῦ εἶπεν ἀνωτέρω· καὶ λέγει νὰ ὑποτάσσεται εἰς τὸν Θεὸν ἡ ψυχή του, ἤτοι αὐτός· ἐπειδὴ καὶ ὁ Θεὸς εἶναι, ὁποῦ δίδει εἰς αὐτὸν τὴν ὑπομονὴν εἰς τὰς θλίψεις· ταῦτα δὲ οἱ Μακκαβαῖοι ἔλεγον εἰς τὸν ἑαυτόν τους, παρακινοῦντες τὰς ψυχάς των εἰς ἀνδρίαν καὶ γενναιοκαρδίαν· τὸ δὲ πλὴν, εἶναι περιττόν. (2)

6: „ Ὅτι αὐτὸς Θεός μου καὶ Σωτήρ μου „ ἀντιλήπτωρ μου, οὐμὴ μεταναστεύσω.

Δὲν θέλω, λέγει, μετακινηθῶ ἐγὼ ἀπὸ τὴν δουλίαν καὶ ὑποταγὴν τοῦ Θεοῦ μου καὶ Σωτῆρος καὶ βοηθοῦ μου, εἰς τὴν δουλίαν καὶ ὑποταγὴν τοῦ θνητοῦ βασιλέως Ἀντιόχου. (3)

7: „ Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ „ ἡ δόξα μου· ὁ Θεὸς τῆς βοηθείας „ μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.

Εἰς τὸν Θεὸν, λέγει, εὑρίσκεται ἡ σωτηρία μου καὶ ἡ δόξα μου, καὶ ὄχι εἰς ἄνθρωπον· ἢ λέγει ὅτι εἰς τὸν Θεὸν ἔχω τὴν σωτηρίαν καὶ τὴν δόξαν μου, καὶ ὄχι εἰς κανένα ἄλλο πρᾶγμα τοῦ κόσμου τούτου· ὁ Θεὸς εἶναι βοηθός μου, καὶ ἐλπίς μου· ὀνομάζουσι δὲ τὸν Θεὸν μὲ τοιαῦτα ὀνόματα οἱ Μακκαβαῖοι, ἀπὸ τὴν πολλὴν ἡδονὴν τῆς καρδίας των, χαίροντες καὶ παῤῥησιαζόμενοι καὶ τοὺς ἄλλους παρακινοῦντες νὰ λέγουσι τὰ ὅμοια λόγια. (4)

8: „ Ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λα-

εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν· ἀτιμία τοίνυν ἐςὶν ἡ κακία, εἰς ἣν οἱ ἐκπεσόντες, ὃ πεπόνθασιν αἰσθανόμενοι λέγουσιν „ Ἐπεκάλυψεν ἡμᾶς ἡ ἀτιμία ἡμῶν, διότι ἔναντι τοῦ Θεοῦ ἡμῶν ἡμάρτομεν ἡμεῖς (Ἱερ. γ'. 25.) οὐκ ἔφη δὲ, ἀπώσαντο τὴν τιμήν μου, ἀλλ' ἐβουλεύσαντο ἀπώσασθαι· βίαν γὰρ οὐκ ἐπάγουσιν, ἀλλ' ἀπάτην οἱ Δαίμονες· ὧν συγγενεῖς, οἱ περὶ ὧν ἔγραψε Παῦλος „ Διὰ εὐλογίας καὶ χρηςολογίας ἐξαπατῶντες τὰς καρδίας τῶν ἀκάκων· τοιοῦτον καὶ τό „ Ἐάν σου δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς· ἑπτὰ γὰρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ (Παρ. κϛ'. 25.)

(1) Ἄλλος δὲ λέγει „ Ἐπειδὴ οἱ Δαίμονες τὰ ἡδέα ἡμῖν ὑποβάλλοντες, δι' αὐτῶν κατάρας ἡμᾶς ἀποφαίνουσι τέκνα· ὁ δὲ μέγας Βασίλειος φάσκει· „ Πολλοί εἰσιν οἱ τὰς πονηρὰς πράξεις ἀποδεχόμενοι, καὶ χαρίεντα μὲν τὸν εὐτράπελον λέγοντες, τὸν δὲ αἰσχρολόγον πολιτικόν· τὸν πικρὸν καὶ ὀργίλον, ακαταφρόνητον ὀνομάζουσι· τὸν φειδωλὸν καὶ ἀκοινώνητον, ὡς οἰκονομικὸν ἐπαινοῦσι.. καὶ ἁπαξαπλῶς πᾶσαν κακίαν ἐκ τῆς παρακειμένης ἀρετῆς ὑποκορίζονται· οἱ τοιοῦτοι, τῷ στόματι μὲν εὐλογοῦσι, τῇ δὲ καρδίᾳ καταρῶνται· ἐν γὰρ τῇ τῶν ῥημάτων εὐφημίᾳ πᾶσαν κατάραν ἐπάγουσιν αὐτῶν (τῶν εὐφημουμένων δηλαδὴ) τῇ ζωῇ.

(2) Λέγει δὲ ὁ Θεοδώριτος „ Μὴ καταλίπῃς ὦ ψυχή μου τοῦ Θεοῦ τὴν δουλείαν· ἀλλὰ τῇ παρ' αὐτοῦ χορηγουμένῃ ῥωσθεῖσα ῥοπῇ, φέρε τὰς τῶν δεινῶν προσβολάς.

(3) Λέγει δὲ ὁ Θεοδώριτος „ Τὸν Ἐμμανουὴλ εἰδὼς Θεὸν ἀληθινὸν καὶ σωτηρίας πηγὴν, οὐκ ἀνέξομαι τὴν δουλείαν ἀμεῖψαι, καὶ πρὸς ἑτέραν δεσποτείαν ἀναδραμεῖν· τὸ γὰρ οὐμὴ μεταναςεύσω, ἀντὶ τοῦ, οὐ μεταθήσομαι τέθεικεν· οὐ γενήσομαί φησι μετανάςης ἀπὸ τῆς ἀληθείας εἰς πλάνην, καὶ δοῦλος τῆς ἁμαρτίας.

(4) Λέγει δὲ ὁ μέγας Βασίλειος „ Μακάριος ὁ ἐπὶ μηδενὶ τῶν κατὰ τὸν βίον ὑψηλῶν ἐπαγαλλόμενος· ἀλλὰ Θεὸν

„ λαῶν · ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς „ καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς „ ἡμῶν.

Καρδίας ἐδῶ ὀνομάζει, τὰς δεήσεις καὶ προσευχάς, ὡς λέγει ἀλλαχοῦ ὁ Δαβὶδ „ Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου · (Ψαλ. ρμα'. 2.) ἐπειδὴ ἡ εἰλικρινὴς καὶ καθαρὰ δέησις, ἐκ μέσης τῆς καρδίας πρέπει νὰ ἀναπέμπεται εἰς τὸν Θεόν · ἐκχέατε δὲ εἶπε, διὰ τὶ ὁ λόγος ῥέει καὶ χύνεται ἀπὸ τὸ σόμα · καὶ ἄλλως δὲ νοεῖται τὸ ῥητὸν τοῦτο : ἤγουν κενώσατε ἔμπροσθεν τοῦ Θεοῦ τὰ κρυπτὰ πάθη τῆς καρδίας σας, διὰ μέσου τῆς ἐξομολογήσεως. (1)

9 : „ Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώ„ πων.

Τὸ πλὴν νοεῖται, ἀντὶ τοῦ ἀληθῶς · διότι ἀφ' οὗ ὁ Δαβὶδ ἐσυμβούλευσε τοὺς ἀνθρώπους τὰ δέοντα, ἔπειτα ἐσοχάσθη ὅτι οἱ πονηροὶ ἄνθρωποι δὲν θέλουν πεισθοῦν εἰς τὰς συμβουλάς του, λέγει, ὅτι ὄντως μάταιοι εἶναι οἱ ἄνθρωποι · διὰ τὶ πονοῦσι καὶ κοπιάζουσιν εἰς τὰ μάταια · μάταιον δὲ εἶναι κάθε πρᾶγμα ἀνόητον καὶ ἄκαρπον.

„ Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυ„ γοῖς τοῦ ἀδικῆσαι.

Οἱ ἄνθρωποι, λέγει, εἶναι ψευδεῖς καὶ ἐσφαλμένοι εἰς τὰς διακρίσεις ὁποῦ κάμνουσι · ταύτας γὰρ ὀνομάζει ζυγούς · καὶ τὸ κριτήριον τοῦ λογισμοῦ τῶν ἀνθρώπων εἶναι διεφθαρμένον · διὰ τὶ αὐτοὶ προτιμοῦν ἀντὶ τῶν σερεῶν καὶ αἰωνίων, τὰ ἄσατα καὶ πρόσκαιρα πράγματα · καὶ ἀντὶ τοῦ καλοῦ, τὸ κακόν · ὡς λέγει ὁ μέγας Βασίλειος · ψευδεῖς δὲ εἶναι οἱ ἄνθρωποι εἰς τὸ νὰ ἀδικοῦν τοὺς ἄλλους · ἤτοι δὲν ἀδικοῦν αὐτούς · διὰ τὶ ζητοῦντες νὰ ἀδικήσουν ἄλλους, ἀδικοῦσιν οἱ τοιοῦτοι προτίτερα ἀπὸ τοὺς ἄλλους τὸν ἑαυτόν τους · ἐπειδὴ καὶ ὑσεροῦσι τὸν ἑαυτόν τους ἀπὸ τὴν δικαιοσύνην καὶ ἀρετήν · ἀποβλέπει δὲ ὁ λόγος οὗτος καὶ εἰς ὅλους μὲν τοὺς κακοὺς ἀνθρώπους, μάλισα δὲ εἰς τὸν τύραννον Ἀντίοχον καὶ τοὺς μετ' αὐτοῦ, οἵτινες ἀδικοῦν διὰ πλεονεξίαν τοὺς Ἰουδαίους. (2)

Αὐ-

Θεὸν ἔχων ἑαυτοῦ δόξαν, καὶ καύχημα τὸν Χρισόν · ὁ δὲ Θεοδώριτος λέγει „ Ἰδοὺ πάλιν ὁ προφητικὸς νοῦς τῆς ἀδιαιρέτου καὶ φωτοφόρου καὶ ἀεὶ οὔσης Τριάδος σαφέσερον ἡμῖν ὑπέδειξε τὰς ὑποσάσεις, οὐ τρεῖς θεοὺς λέγων · ἄπαγε! τὸ γὰρ Θεὸς, ὡς πολλάκις ἡμῖν εἴρηται, καὶ τὸ Κύριος καὶ Βασιλεὺς καὶ Δημιουργὸς καὶ Παντοκράτωρ ἐπὶ τῶν ὑποσάσεων κεῖται.

(1) Διὰ τοῦτο λέγει ὁ θεῖος Βασίλειος „ Ἀμήχανον ἡμᾶς χωρητικοὺς γενέσθαι τῆς θείας χάριτος, μὴ τὰ ἀπὸ κακίας πάθη προκατασχόντα τὰς ψυχὰς ἡμῶν ἐξελάσαντας · εἶδον ἰατροὺς ἐγὼ μὴ πρότερον διδόντας τὰ σωτήρια φάρμακα, πρὶν ἐμέτοις ἀποκενῶσαι τὴν νοσοποιὸν ὕλην, ἣν ἐκ πονηρᾶς διαίτης ἑαυτοῖς οἱ ἀκόλασοι ἐναπέθεντο · δεῖ τοίνυν ἐκχυθῆναι τὰ προϋπάρχοντα, ἵνα δυνηθῇ χωρηθῆναι τὰ ἐπαγόμενα · ὁ δὲ Θεοδώριτος λέγει „ Τὸ ἐκχέατε τὰς καρδίας ὑμῶν τοῦτο δηλοῖ, ἀντὶ τοῦ, πάντας αὐτῷ τοὺς λογισμοὺς ἀφιερώσατε, καὶ μηδεμίαν διχόνοιαν εἰσδέξασθε, εὖ μάλα ἐπισάμενοι, ὡς ἄνθρωπος δίψυχος, ἀκατάσατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ · καὶ τὸ, δυσὶ κυρίοις οὐδεὶς δύναται δουλεύειν · εἶπε δὲ καὶ ὁ Ὠριγένης „ Ὁ πάντα τὸν φαῦλον ἀποθέμενος διαλογισμὸν, καὶ ἄκρως μετανοήσας, ὡς μηδὲ μεμνῆσθαι τῶν χειρόνων, ἐξέχεεν ἐνώπιον Θεοῦ τὴν καρδίαν ἑαυτοῦ · ὁ δὲ Ἀθανάσιος λέγει ὅτι διὰ τῶν λόγων τούτων ὁ Δαβὶδ προφητικώτερον τὴν τῶν Ἐθνῶν πάντων προαναφωνεῖ κλῆσιν · καὶ ὁ Ἀνώνυμος δέ φησι „ Ταυτὸν τὸ ἐκχεῖν ἐνώπιον αὐτοῦ τὴν καρδίαν, τῷ ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης καρδίας ἀγαπᾷν αὐτόν · ὅμοιον οὖν ὡς εἰ λέγοι „ Μὴ προσέλθῃς αὐτῷ ἐν καρδίᾳ δισσῇ (Σειρ. α'. 27.)

(2) Ὁ δὲ Θεοδοτίων εἶπε „ Πλὴν ἀτμὶς υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς υἱοὶ ἀνδρὸς ὡς ῥοπὴ ζυγοῦ · οὐδέν φησι μόνιμον τῶν ἀνθρωπίνων, κατὰ τὸν Θεοδώριτον, ἀλλ' ἀτμῷ ἔοικεν ἀναπεμπομένῳ καὶ παρευθὺ σκεδαννυμένῳ, καὶ ῥοπῇ ζυγοῦ, ποτὲ μὲν καθιεμένῃ, ποτὲ δὲ ἀνανευούσῃ καὶ σαθηρὸν οὐδὲν ἐχούσῃ καὶ μόνιμον · λέγει δὲ καὶ ὁ μέγας Βασίλειος „ Ἑκάσου ἡμῶν ἐν τῷ κρυπτῷ ζυγός τίς ἐσι παρὰ τοῦ κτίσαντος ἡμᾶς ἐγκατασκευασθεὶς, ἐφ' οὗ τὴν φύσιν τῶν πραγμάτων δυνατόν ἐσι διακρίνεσθαι . . . ζυγοσάτησον ἀκριβῶς τί σοι λυσιτελέσερον, τὴν πρόσκαιρον ἡδονὴν

λέ-

„ Αὐτοὶ ἐκ ματαιότητος ἐπιτοαυτό:

Ἀπὸ τὴν ματαιότητα, λέγει, ὁποῦ ἔχουσιν οἱ ἄνθρωποι, συμφωνοῦσιν εἰς τὸ νὰ ἀδικήσουν· ὅθεν ὁ Σύμμαχος εἶπεν „ Αὐτοὶ γὰρ ματαιοῦνται ὁμοῦ.

10: „ Μη ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ „ ἅρπαγμα μη ἐπιποθεῖτε.

Εἰς ὅλους τοὺς ἀνθρώπους κάμνει τὴν διδασκαλίαν ταύτην ὁ θεῖος Δαβίδ, μὴ ἐλπίζετε, λέγει, ὦ ἄνθρωποι εἰς τὴν ἀδικίαν: ἤγουν εἰς τὸν ἐξ ἀδικίας συναγόμενον πλοῦτον· μηδὲ ἐπιποθεῖτε τὰς ἁρπαγὰς καὶ τὰ ξένα πράγματα· περιττὴ δὲ εἶναι ἡ ἐπὶ πρόθεσις ἐδῶ· καὶ ἔςιν αὕτη ἡ σύνταξις· καὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. (1)

„ Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε „ καρδίαν.

Ἀνίσως, λέγει, ὁ πλοῦτος (ἐπειδὴ καὶ ἔχει φύσιν ῥοώδη καὶ ἀκατάςατον) μεταφέρεται ἀπὸ τὸν ἕνα ἄνθρωπον εἰς τὸν ἄλλον, ἢ ἀπὸ τὸν ἄλλον μεταφέρεται εἰς ἐσᾶς, πάλιν μὴ προσηλόνετε εἰς τὸν πλοῦτον αὐτὸν τὴν καρδίαν σας, ὥςε ὁποῦ νὰ προσπάσχετε καὶ νὰ ἐπιθυμῆτε αὐτόν· μερικὰ δὲ ἀντίγραφα, καρδίας γράφουσι· τὸ ὁποῖον, εἰμὲν εἶναι γενική, δηλοῖ, ὅτι μὴ προσπάσχετε μηδὲ ἐπιθυμεῖτε τὸν πλοῦτον ἐξ ὅλης τῆς καρδίας σας· εἰδὲ αἰτιατική, δηλοῖ, ὅτι μὴ προσηλόνετε εἰς τὸν πλοῦτον τὰς καρδίας σας. (2)

11: „ Ἅπαξ ἐλάλησεν ὁ Θεός· δύω ταῦτα „ ἤκουσα· ὅτι τὸ κράτος τοῦ Θεοῦ, „ καὶ σοῦ Κύριε τὸ ἔλεος. (2)

Τοῦτο τὸ ῥητὸν μερικοὶ ἐνόησαν διὰ τὴν ἀ-

λέσθαι ἡδονήν, καὶ δι' αὐτῆς τὸν αἰώνιον λαβεῖν θάνατον, ἢ τὴν ἐν τῇ ἀσκήσει τῆς ἀρετῆς ἑλόμενον κακοπάθειαν, ταύτῃ προξένῳ χρήσασθαι τῆς αἰωνίου ζωῆς; ψευδεῖς οὖν οἱ ἄνθρωποι, διεφθαρμένα ἔχοντες τῆς ψυχῆς τὰ κριτήρια, οὓς καὶ ταλανίζει ὁ Προφήτης λέγων „ Οὐαὶ οἱ λέγοντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος, οἱ λέγοντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν.

